Παρ' ὁποῦ εἶχαν εἰς τὰ κάτεργα καὶ εἰς ὅλα τὰ πλευτικά τους·
Ἐνταῦθα ὀπίσω ἐστράφησαν, ἤλθασιν εἰς τὴν Πόλιν.
Ὡς τὸ ἤκουσεν ὁ βασιλεὺς Κυρσάκης ὁ Βατάτζης,
Μεγάλως τὸ ἐδλαστήμησεν, σφόδρα τὸ ἐλυπήθη·
655 Οὐδὲν ἤξευρεν ποσῶς ἐκ τὴν βουλὴν ἐκείνων
Ὁποῦ ἔδωκαν τοῦ υἱοῦ, αὐτὸν Ἀλέξιον τὸν Βατάτζη,
Ἐκεῖνοι οἱ θεοκοτάρατοι, οἱ ἄνομοι δημηγέρταις.
Ὅρισε καὶ ἐκράξασιν Ἀλέξιον τὸν υἱόν του·
Μεγάλως τὸν ἀτίμωσεν, ἐχολίασέ τον σφόδρα·
660 Καὶ λέγει οὕτως πρὸς αὐτὸν μετὰ δακρύων τοὺς λόγους·
« Εἰπέ μου, θεοκατάρατε (οὐκ εἶσαι σὺ υἱός μου)·
« Πῶς τὸ ἐνθυμήθης, ἄπιστε τοῦ Θεοῦ καὶ τῶν ἁγίων,
« Τὴν ἀπιστιὰν ὁποῦ ἔπηκες καὶ τὴν δημηγερσίαν
« Εἰς ἐκείνους ὁποῦ σ' ἔπηκεν νὰ ἦσαι βασιλέας;
665 « Οὕτως σὲ ἁρμόζει ἀπὸ τοῦ νῦν νὰ σὲ κρατοῦν οἱ πάντες
« Ὡσὰν ἐκεῖνον τὸν ἄπιστον Ἰούδαν τὸν Σκαριώτην,
« Ὁποῦ ἔπηκεν τὴν προδοσίαν τοῦ Κυρίου τῆς δόξης.
« Γοργὸν σὲ ὁρίζω νὰ μὲ εἰπῇς, τὸ ποῖ σ' ἐσυμβουλεῦσαν
« Νὰ ποιήσῃς τοῦτο τὸ ἔπηκες, τὴν τόσην ἀπιστίαν.
670 « Ἀτίμησες τὴν βασιλειὰν, τὸ γένος τῶν Ῥωμαίων.
« Ποῖος νὰ πιστεύσῃ ἀπὸ τοῦ νῦν Ῥωμαίου τινὸς ἀνθρώπου; »
Ἐκεῖνος ἀπὸ τοῦ φόβου του καὶ ἀπὸ στενοχωρίας του
Οὐκ εἶχε πῶς τὸ ἀρνηθῇ· εἶπε καὶ μαρτυρᾷ τους
Ἐκεάνους τοὺς πανάπιστους ὁποῦ τὸν ἐσυμβουλεῦσαν.

675 Ὁρίζει εὐθὺς ὁ βασιλεὺς, καὶ ἠφέραν τους ὀμπρός του·
Τοὺς ὀφθαλμοὺς τοὺς ἐξέβαλεν, 'ς τὴν φυλακὴν τοὺς βάνει.
Καὶ ἀπ' ἐκεῖ κράζει δύο ἄρχοντας, πρώτους τοῦ παλατίου·
Ὁρίζει γράφουν γράμματα 'ς ἐκεῖνον τὸν μαρκέζην,
Ὡσαύτως καὶ εἰς τοὺς ἑτέρους κοντάδαις, κεφαλάδαις.
680 Ἐξαφωρμίσθη πρὸς αὐτοὺς, μεθ' ὅρκου τοὺς τὸ ἐμήνα,
Ὅτι ποτὲ σὺκ ἤξευρε τὴν ἀπιστιὰν ἐκείνην,
Ὁποῦ ἔπτηκε ὁ υἱός του μετὰ τοὺς δημηγέρταις·
«Παρακαλῶ σας, ἄρχοντες, τὸ πρᾶγμα νὰ πραΰνῃ·
«Ἂς λείψουσι τὰ σκάνδαλα· μηδὲν γένοιτο πλέον.
685 «Ἐδῶ κρατῶ τοὺς ἀπίστους 'ς τὴν φυλακὴν ἀπέσω·
«Τυφλοὺς τοὺς ἔχω· ἐπάρετε, ὁρίσετε· ἂς τοὺς κρίνουν
«Ὡς δημηγέρταις, ἀπίστους τοῦ Θεοῦ καὶ τῶν ἁγίων.
«Ἐγὼ γὰρ τὰ προστάγματα 'ποῦ ἔχομε ἀμφοτέρως,
«Ταῖς συμφωνιαῖς καὶ ὁμόλογα, κρατῶ τὰ ἀφιρωμένα·
690 «Στέργω νὰ τὰ πληρώσωμεν ἄνευ κανενὸς δόλου.
«Τὸ κοῦρσον ὁποῦ ἐπάκετε καὶ ἡ αἰχμαλωσία,
«Ἂς ἦναι εἰς ἀνταμοιβὴν τοῦ φόνου τοῦ λαοῦ σας.
«Ὁ υἱός μου γὰρ νεούτζικος, ἀπαίδευτος τοῦ κόσμου,
«Παρακαλῶ σας, ἄρχοντες, ὡς ἀδελφοὺς καὶ φίλους,
695 «Νὰ ἔχῃ τὸ συμπάθιόν σας, μετ' ἐσᾶς νὰ ἀποθάνῃ·
«Ἀπὸ τοῦ νῦν καὶ ἔμπροσθεν ὡς ἀδελφός σας νὰ ἦνῃ.
«Ἂς ἦνι εἰρήνη εἰς ἡμᾶς, ἀγάπη καὶ ὁμοτάνια.
«Ἐξεχειμάσετε ἐνομοῦ ἐδῶ 'ς τὴν Πόλιν μέσα·
«Καὶ εἰς τοῦ καιροῦ τὴν ἄνοιξιν νὰ πᾶτε 'ς τὴν Συρίαν·
700 «Ὁ υἱός μου νὰ ἔλθῃ μετ' ἐσᾶς κατὰ ταῖς συμφωνίαις.»
Ἤκουσαν ταῦτα οἱ ἀρχηγοὶ τοῦ φράγκικου φουσάτου,
Βουλὴν ἀπῆραν ἐνομοῦ, ἰσιάσθησαν εἰς τοῦτο·
Ἐγείνη ἀγάπη εἰς αὐτοὺς, καθὼς ἦτον καὶ πρῶτα.
Ἐν τούτῳ ἐξεχείμασαν, ἦλθεν ὁ μάρτης μήνας·

705 Οἱ Φράγκοι οἰκονομήθησαν, διὰ νὰ ὑπαγαίνουν
Ἐκεῖσε εἰς τὸ ταξεῖδί τους, εἰς τοῦ Χριστοῦ τὸν τάφον.
Ἐνταῦθα ἀπῆλθεν εἰς αὐτοὺς ὁ βασιλεὺς Ἀλέξιος,
Καὶ εἶπεν οὕτως πρὸς αὐτοὺς, ἐπαρακάλεσέ τους·
« Ἄρχοντες, φίλοι καὶ ἀδελφοὶ, συντρόφοι ἠγαπημένοι,
710 « Ἐσεῖς ἠξεύρετε καλὰ τὸν φόνον τοῦ διαβόλου,
« Τὸ πῶς μᾶς ἐσκανδάλισεν εἰς τὴν νεότητά μας.
« Λοιπὸν ἐγὼ εὑρίσκομαι εἰς ὅλα μου ἀρχικάρης,
« Καὶ οὐδὲν ἔχω τὰ πράγματα ὁποῦ μὲ κάμνουν χρείαν,
« Οὕτως ὡς πρέπει εἰς θέλημα διὰ τὸ ταξεῖδι ἐτοῦτο.
715 « Καὶ ἄλλο πάλαι σᾶς λαλῶ, πληροφορέθητέ το·
« Ἀπὸ ἀφορμῆς τοῦ σκανδάλου ἐτούτο ὁποῦ ἐγινέτον[1],
« Οὐ προθυμοῦσιν οἱ Ῥωμαῖοι νὰ σμίξουν μὲ τοὺς Φράγκους.
« Διὰ τοῦτο λέγω πρὸς ἐσᾶς, ἀξιῶ, παρακαλῶ σας,
« Νὰ ἔχω συμπάθιον ἀπ' ἐσᾶς ἡμέραις δεκαπέντε,
720 « Νὰ ὀρθώσω τὰ φουσάτα μου, καὶ νὰ σᾶς καταφθάσω. »
Οἱ Φράγκοι γὰρ τὸ ἐστέρξασιν, κινοῦσιν καὶ ὑπαγαίνουν.
Ἐπέρασαν τὴν Ἡράκλειαν· πάντα κοντὰ ἀναμένουν
Ἐκεῖνον γὰρ τὸν βασιλέα Ἀλέξιον τὸν Βατάτζην.
Ἀκούσατε οἱ ἅπαντες, Φράγκοι τε καὶ Ῥωμαῖοι,
725 Ὅσοι πιστεύετε εἰς Χριστὸν, τὸ βάπτισμα φορεῖτε,
Ἐλᾶτε ἐδῶ ν' ἀκούσετε ὑπόθεσιν μεγάλην,
Τὴν κακοσύνην τῶν Ῥωμαίων, τὴν ἀπιστιὰν ὁποῦ ἔχουν.
Ποῖος νὰ θαῤῥεύσῃ εἰς αὐτοὺς, ὅρκον νὰ τοὺς πιστεύσῃ,
Ἀφοῦ τὸν Θεὸν οὐ σέβονται, αὐθέντην οὐκ ἀγαποῦσιν;
730 Ὁ εἷς τὸν ἄλλον οὐκ ἀγαπᾷ, μόνον μὲ ποντρίαν.

[1] Le ms. de Paris donne ici ces deux vers :

Εἰς ἄλλον πάλιν λογισμὸν κείτονται οἱ Ῥωμαῖοι
Διὰ τὸ σκάνδαλον αὐτὸ 'ποῦ ἔγεινε εἰς τὴν μέσην.

Ἀφοῦ οἱ Φράγκοι ἐξέβησαν ἐκεῖθεν ἐκ τὴν Πόλιν,
Ὁ κάποιος πλούσιος ἄνθρωπος, ἄρχων ἀπὸ τὴν Πόλιν,
(Μούρτζουφλον τὸν ἐλέγασιν, οὕτως εἶχε τὸ ἐπίκλην)
Ἰδὼν τὸν γέρον βασιλέα, τὸ πῶς τὸν ἐτυφλῶσαν,
735 Καὶ Ἀλέξιον τὸν υἱὸν αὐτοῦ, τὸ πῶς ὑπῆρχε νέος,
Ἐλογίασε τὴν βασιλείαν μὲ πονηρίαν νὰ ἐπάρῃ[1].
Κράζει τινάς του συγγενοὺς, φίλους γὰρ καὶ γειτόνους,
Τζαγγάρους καὶ λιμαρικοὺς. Βουλὴν ἐπῆρεν μετ' αὐτους.
Ἀλέξιον τὸν βασιλέα ἐπιάσαν καὶ ἐφονεῦσαν.
740 (Εἰς μονεξιὰν τὸν πῦρασι), καὶ ἐθανάτωσάν τον.
Ἐστέψασι τὸν Μούρτζουφλον, τὸ στέμμα τοῦ ἐφορέσαν,
Ὠνόμασάν τον βασιλέα, οὕτως τὸν εὐφημῆσαν.
Ἐνταῦθα γὰρ ὡς τὸ εἴδασι τινὲς ἀπὸ τὴν Πόλιν
Ἀκούσαντες τοῦ παραξένου τοῦ βασιλέως τὸν φόνον[2],
745 Βαρκέτα ἁρματώσασι πενῆντα δυὸ κουπίων,
Ἐπλεύσασιν, ἀπήλθασιν, ἐσώσασιν τοὺς Φράγκους,
Ἐκεῖσε ὅπου ὑπαγαίνασιν 'ς τὰ μέρη τῆς Συρίας.
Λεπτομερῶς τοὺς εἴπασι, καὶ ἐπληροφόρησάν τους
Τοῦ βασιλέως τὸν θάνατον, τὸ πῶς τὸν ἐσκοτῶσαν,
750 Ὁ Μούρτζουφλος ὁ ἄπιστος τὴν βασιλείαν ἀπῆρεν.
Οἱ Φράγκοι ὡς τὸ ἤκουσαν, ἐθλίβησαν μεγάλως.
Ἀπαύτου ἐπήρασι βουλὴν, τὸ πῶς νὰ ἔχουν πράξει.
Τί νὰ σὲ λέγω τὰ πολλὰ, καὶ νὰ σὲ τὰ εὐμορφίζω;
Ἄκουσαν ταῦτα οἱ ἄρχοντες τοῦ φράγκικου φουσάτου,

[1] Le ms. de Paris dit :

Ἐσκόπησε μὲ πονηριὰν τὴν βασιλειὰν νὰ λάβῃ.

[2] Le ms. de Paris dit :

Τὸ ἄδικον τοῦ βασιλέως, τὸ ἄδικον τὸ ἐπῆκαν.

755 Μεγάλως τὸ ἐθαυμάστησαν, εἰς σφόδρα τὸ λυποῦνται,
Καὶ ἄρχησαν νὰ λέγουσιν οἱ φρονιμώτεροί τους,
[Νὰ καταργίζουν τοὺς Ῥωμαίους μὲ τὴν ὑπόληψίν τους·]
« Τίς νὰ πιστεύσῃ εἰς Ῥωμαῖον εἰς λόγον τε εἰς ἔργον;
« Λέγουσιν, ὅτι εἶναι χριστιανοὶ, καὶ εἰς Θεὸν πιστεύουν.
760 « Ἡμᾶς τοὺς Φράγκους μέμφονται, λέγουν, κατηγοροῦν μας·
« Σκύλλους μᾶς ὀνομάζουσι, καὶ ἀτοί τους ἐπαινοῦνται.
« Λέγουν, ὅτι εἶναι χριστιανοὶ, καὶ βάπτισμα φοροῦσιν·
« Αὐτοὶ καὶ μόνοι λέγουσιν ὅτι εἰς Χριστὸν πιστεύουν·
« Μετὰ τοὺς Τούρκους κάθονται, πίνουν καὶ ἐσθιάζουν,
765 « Καὶ τίποτε οὐ λέγουσιν, οὐδὲ κατηγοροῦν τους.
« [Καὶ μετὰ μᾶς ἂν φάγουσιν, τὰ κ' ἀναθεματίζουν.
« Εἰς τὴν ἐκκλησίαν τους ἐὰν συμβῇ Φράγκος νὰ λειτουργήσῃ,
« Σαράντα ἡμέραις λείπεται ἄψαλτη ἡ ἐκκλησιά τους.
« Ἀκούσατε ταῖς αἱρεσες ταῖς ἔχουν οἱ Ῥωμαῖοι·
770 « Ἀτοί τους γὰρ καὶ μοναχοὶ ἀλλήλως ἐπαινοῦνται,
« Καὶ ἐμᾶς τοὺς Φράγκους μέμφονται, ἐμᾶς κατηγοροῦσιν·
« Ὁποῦ κρατοῦμε τοῦ Χριστοῦ τὴν πίστιν καὶ τὸν νόμον,
« Καθὼς μᾶς τὸ ἐδιδάξασιν ἐκεῖνοι οἱ ἅγιοι ἀποστόλοι·
« Ὁ πρῶτος γὰρ ἀπόστολος ἦτον ὁ ἅγιος Πέτρος,
775 « Ὁποῦ τὸν ἐθρονίασεν ὁ Χριστὸς πρῶτον τῆς οἰκουμένης·
« Τοῦ παραδείσου τὰ κλειδία τοῦ ἔδωκε ἀτός του·
« Τὴν ἐξουσίαν τοῦ ἔδωκεν νὰ δέσῃ καὶ νὰ λύσῃ·
« Ὅσον ποιήσει εἰς τὴν γῆν εἰς οὐρανοὺς νὰ στέργῃ.
« Ἐκεῖνος γὰρ ὁ ἀπόστολος, ὡς φρόνιμος ὁποῦ ἦτον,
780 « Καὶ εἶχεν τὴν χάριν τοῦ Χριστοῦ, τὸν ὁρισμόν του ὡσαύτως,
« Διότι, τοὺς χρόνους ἐκείνους, ἡ πόλις γὰρ τῆς Ῥώμης
« Τὸν κόσμον ὅλον ἀφέντευεν, ὅλην τὴν οἰκουμένην,
« Διὰ νὰ παράξῃ τὰ εἴδωλα, τὴν ἀπιστίαν τῶν ἐθνῶν,
« Καὶ τοῦ Χριστοῦ τὴν ἐκκλησίαν νὰ αὐξήσῃ καὶ στερεώσῃ,

785 « Ἐκεῖ ἀπῆλθεν καὶ ὠκοδόμησεν τὸν θρόνον τῆς ἐκκλησίας.
« Ἐκεῖ τὸν ἐσταυρώσασιν διὰ τοῦ Χριστοῦ τὴν πίστιν.
« Ἀπαύτου γὰρ ἐξήλθασιν τινὲς πλεῖστοι παπάδες,
« Ὁποῦ ἐκρατοῦσαν τὸ σκαμνὶ τῆς ἐκκλησίας τῆς Ρώμης,
« Οἱ Φράγκοι γὰρ καὶ Ῥωμαῖοι πίστιν μίαν ἐκρατοῦσαν.
790 « Τῆς οἰκουμένης οἱ ἀρχιερεῖς, Φράγκοι τε καὶ Ῥωμαῖοι,
« Οἱ πατριάρχαι καὶ ἀρχιερεῖς, οἱ πρῶτοι τῆς οἰκουμένης,
« Ἐπέρνουν τὴν χειροτονίαν ἕκαστος ἀπὸ ἐκεῖνον,
« Ὁποῦ ἦτον πάπας καὶ ἀρχιερεὺς εἰς τὸ σκαμνὶ τῆς Ῥώμης.
« Διαβάντες γὰρ χρόνοι πολλοὶ, αὐτοίνοι οἱ Ῥωμαῖοι,
795 « Ἕλληνες εἶχαν τὸ ὄνομα, οὔτως τοὺς ὠνομάζαν,
« Πολλὰ ἦσαν ἐλαζονικοὶ, ἀκόμη τὸ κρατοῦσιν.
« Ἀπὸ τὴν Ῥώμην ἐπήρασιν τὸ ὄνομα τῶν Ῥωμαίων.
« Ἀπ' αὔτης τῆς ἐλαζονίας τὴν ἔπαρσιν ὁποῦ εἶχαν,
« Ἀφήκασιν τὸν ὄρδιναν τῆς ἐκκλησίας τῆς Ῥώμης,
800 « Καὶ στέκουν ὡς ἰσμάτικοι μόνοι τὸ κεῦχο ἔχουν.
« Τηρήσετε, ἄρχοντες καλοὶ, τὴν ἀπιστίαν ὁποῦ ἔχουν.
« Λέγουν ὅτι εἶναι χριστιανοὶ, καὶ ἀλήθειαν οὐ κρατοῦσιν·
« Τὸν ὅρκον τους οὐδὲν κρατοῦν, οὐδὲ Θεὸν φοβοῦνται·
« Μόνον τὸ βάπτισμα ἔχουσι τὸ τῆς χριστιανοσύνης.
805 « Ἰδὲ τὸ ὁρίζουν εἰ γραφαῖς καὶ τὰ βιβλία ὁποῦ ἔχουν.
« Τὴν διδαχὴν ὁποῦ ἔπηκαν οἱ δώδεκα ἀποστόλοι,
« Οἱ τέσσαροι εὐαγγελισταὶ ὁποῦ μᾶς ἐφωτίσαν,
« Τὴν πρᾶξιν ὁποῦ ἔπηκαν ἐτότε εἰς τὸν κόσμον
« Ὅταν ἦτον ὁ Χριστὸς καὶ εἰς γῆν περιεπάτει,
810 « Καὶ ἀπαύτου πάλαι ἡ διδαχὴ ὁποῦ μᾶς ἐδιδάχθη,
« Τῆς ἐκκλησίας τὸν ὄρδιναν τὸ πῶς νὰ τὸν κρατῶμεν,
« Ὅλα τὰ ἐλαττώσασιν ἀφότου ἐχωρῆσαν
« Ἀπὸ τῆς Ῥώμης ἐκκλησίας, ὁποῦ ἦν καθολική μας,
« Καὶ ἀφήκαν τὴν χειροτονίαν τοῦ ἀγιωτάτου πάπα.

815 « Καὶ ἀλλήλως γὰρ χειροτονοῦν τὸν πατριάρχην ὁποῦ ἔχουν.
« Λοιπὸν ἀφότου οὐ σέβονται τὴν ἐκκλησίαν τῆς Ῥώμης,
« Διατὶ νὰ ὑπᾶμε εἰς τὴν Συρίαν καὶ οὐμὴ νὰ στραφοῦμε ὀπίσω,
« Νὰ ἐπάρωμεν τῶν ἀπίστων τὴν αὐθεντίαν ὁποῦ ἔχουν,
« Ἀφότου τὸν αὐθέντην τους, τὸν βασιλέαν ἐπνίξαν.
820 « Καὶ ἀπαυτοῦ γὰρ τηρήσετε τὴν ἀσέβειαν ὁποῦ ἔχουν·
« Τὸν βασιλέαν ὁποῦ εἴχασιν διὰ φυσικὸν αὐθέντην,
« Μὲ φθόνον καὶ δημηγερσίαν ἐσφάξαν καὶ ἀπεκτείναν.
« Τὶς νὰ πιστεύσῃ εἰς αὐτούς, εἰς ὅρκον εἴτε εἰς λόγον,
« Νὰ τοὺς κρατήσῃ χριστιανοὺς, ὡς τὸ λαλοῦν καὶ λέγουν;
825 « Μὲ λόγια εἶναι χριστιανοὶ, τὸ ἔργον γὰρ τοὺς λείπει.
« Ἀνάθεμα τὸν χριστιανὸν ὁποῦ θὰ τοὺς πιστεύσῃ.
« Ἀφότου γὰρ ἐθλίβησαν τὸν βασιλέαν οἱ Φράγκοι
« Καὶ εἶπαν ταῖς παραπόνεσαις καὶ τῶν Ῥωμαίων ταῖς πράξαις,
« Ἄρξαν νὰ συμβουλεύωνται τὸ πῶς θέλουσιν πράξει·
830 « Τινὲς ἀπ' αὐτοὺς ἔλεγαν εἰς τὴν Συρίαν νὰ ἀπέλθουν,
« Καὶ ἄλλοι, οἱ φρονιμώτεροι, εἶπαν καὶ ἐσυμβουλεύσαν,
« Τέτοιαν βουλὴν ἐδώκασιν ὡς ἂν σε τὸ ἀφηγοῦμαι·
« Ἀφότου οἱ ἄπιστοι Ῥωμαῖοι, ἐκεῖνοι οἱ δημηγέρτες,
« Τὸν βασιλέαν ἐσκοτώσαν, τὸν φυσικόν τους αὐθέντην,
835 « Ὁποῦ ἔπρεπε νὰ τὸν κρατοῦν δεύτερον τοῦ Κυρίου,
« Καὶ οὐκ ἔχουν ἄλλον φυσικὸν νὰ τοὺς ἔχῃ αὐθεντεύει,
« Παρὰ νὰ ὑπᾶμε εἰς τὴν Συρίαν τὰ οὐκ ἔχομεν γυρεύει,
« Ἐνταῦθα στρέμα ἂς ποιήσωμεν ἀπέσω εἰς τὴν πόλιν,
« Καὶ πόλεμον ἂς δώσωμεν ὅλοι μὲ τὰ ἄρματά μας.
840 « Καὶ ἂν δώσῃ ὁ Θεὸς, καὶ πάρομεν τὴν Κωνσταντινουπόλιν,
« Τὴν βασιλείαν ἂς κρατήσωμεν ὅλης τῆς Ῥωμανίας. »
Ἐν τούτῳ ἐσυμβιβάσθησαν οἱ κεφαλάδες ὅλοι,
Ὡσαύτως ὅλον τὸ κοινὸν τοῦ φράγκικου φουσάτου.
Τὰ πλευτικά τους ὥρισαν, τὰ ἄρμενα ἐγυρήσαν.

845 Τί νὰ σὲ λέγω τὰ πολλὰ καὶ ἐγὼ πολλὰ βαρειῶμαι;
Ἐστράφησαν οἱ Φράγκοι μας ἐκεῖσε εἰς τὴν πόλιν,
Καὶ ἀφότου ἀπεσώσασιν ἐκεῖσε εἰς τὸν λιμιόνα,
Τὴν χώραν ἐτριγύρισαν τῆς γῆς καὶ τῆς θαλάσσης.
Οἱ Φράγκοι ἐμηχανεύθησαν, ὡς ἂν καὶ οἱ Βενετίκοι·
850 Μετ' αὐτοὺς ἦσαν ἐνομοῦ ὁμοίως καὶ οἱ Προβεντζάλοι,
Ὡς αὔτως καὶ ἐκ τοῦ Μουφαρᾶ ἐκεῖνοι οἱ Λουμπάρδοι.
Τὰ τριπουντζέτα ἐστήσασιν ὅλα ἀπὸ τὴν στερέαν,
Ταῖς σύνταξες ἐχώρησαν, τὸν πόλεμον ἀρχήσαν.
Ἀπὸ τοῦ πλήθους τῶν τζαγρῶν ἄνθρωπον οὐκ ἀφήναν
855 Νὰ στέκῃ ἀπάνω εἰς τὰ τειχέα τῆς χώρας τῆς πολέου.
Εἶχαν καὶ σκάλαις ξύλιναις καλὰ σιδερομέναις·
Εἰς τὰ τειχέα ταῖς ἔστησαν διὰ νὰ σέβουν ἀπέσω.
Οἱ καβαλάριοι ἐπέζεψαν ἀπάνω ἐκ τὰ φαρία.
Τὸ ἰδεῖ ταῖς σκάλαις ἔδραμαν, ἐσέβησαν ἀπάνω.
860 Οὕτως ὡς ἂν σὲ τὸ λαλῶ ἐπιάστη ἐτότε ἡ πόλις.
Οἱ Φράγκοι ἐσέβησαν ἐμπρὸς ἀπ' ἔκει ἐκ τὴν στερέαν,
Καὶ οἱ Βενετίκοι πάλαι ἐσέβησαν ἀπάνω ἐκ τὰ καράβια,
Ἐκεῖθεν ὁποῦ ἐστήκασιν τὸν γύρον τῆς θαλάσσου.
Ἰστέον γὰρ νὰ ἐξεύρεται ὅτι ἐπιάστη ἡ πόλις.
865 Ὅταν ἐπιάστη πρότερον ἀπὸ τοὺς Βενετίκους,
Εἰς τοῦ νοεμβρίου ταῖς τέσσαραις ἡμέραις ἦτον ἐτότε·
Τὸ δὲ ὑστερνὸν καὶ δεύτερον τὸ πιάσμα τῆς πολέου
Εἰς τοῦ ἀπριλλίου ταῖς τέσσαραις ἐγίνη πάλαι ἐκεῖνο.
Ἀπὸ τοῦ πλήθους τοῦ λαοῦ, τοῦ δυνατοῦ πολέμου,
870 Τινὰς οὐκ ἴσχυσεν ποσῶς νὰ φύγῃ ἀπὸ τὴν πόλιν.
Ἐπιάσαν γὰρ τὸν Μούρτζουφλον τὸν ἄπιστον ἐκεῖνον.
Τῶν ἀρχηγῶν τὸν ἤφεραν διὰ νὰ τὸν ἔχουν κρίνει.
Μεγάλως τὸ ἐχάρησαν οἱ εὐγενικοὶ κοντάδες.
Ὄχλησι ἐγίνη ταραχὴ τὸ τὶ κρίσιν νὰ πάθῃ.

875 [Ὁ κάποιος γέρων ἄνθρωπος εὑρέθη ἐκεῖ εἰς τὴν πόλιν·
Ἄνθρωπος ἦτον φρόνιμος, γραμματικὸς εἰς σφόδρα.
Τὸ ἀκούσει πῶς ἠθέλασιν οἱ Φράγκοι νὰ τὸν ἔχουν κρίνει
Ἐκεῖνον τὸν πανάπιστον τὸν Μούρτζουφλον σὲ λέγω.
Ἔδραμεν ἐκεῖσε εἰς ἐκείνους ὁποῦ ἦσαν κεφαλάδες,
880 Ὁποῦ εἶχαν γὰρ τὴν ἐξουσίαν εἰς ὅλα τὰ φουσάτα.
Ἄρχησε λέγει πρὸς αὐτοὺς, ἐπληροφορεσέ τους[1]]·
Τὸ πῶς ὁ κάποιος βασιλέας (κὺρ Λέων τὸν ὠνομάζαν,
Φιλόσοφος ἦτον φοβερὸς, καὶ προφητειαῖς ἐπῆκε)·
Πολλὰ πράγματα ἔπηκεν ἐκεῖσε εἰς τὴν Πόλιν.
885 Ὅλα ἐπληρῶσαν τὸν καιρὸν ὁποῦ 'μελλε νὰ ἔλθουν·
Καὶ ἄλλα πάλαι ἀναμένασιν νὰ ἔλθῃ ὁ καιρός τους·
Λοιπὸν ἐκεῖ πλησίον, ὀμπρὸς εἰς τὴν ἁγιὰν Σοφίαν
Ἔστηκεν κιόνι φοβερὸν, μέγα ψηλὸν ὑπῆρχε·
Γράμματα ἔπηκε γλυπτὰ, γράφουσιν ὡς σὲ λέγω·
890 «Ἀπέδω ἐκ τούτου τοῦ κιονιοῦ ὀφείλουν κρημνίσει
«Τὸν βασιλέα τὸν ἄπιστον τῆς Κωνσταντίνου πόλης.
«Λοιπὸν, ὡς φαίνει, ἄρχοντες, ἡ προφητεία ἐπλήρῃ.
«Ἀφοῦ τὸ κιόνι ἔχετε καὶ αὐτὸν τὸν δημηγέρτην,
«Πληρώσετε τὴν προφητειὰν ἐκείνου τοῦ φιλοσόφου.»
895 Τὸν ἀκούσουν το οἱ ἄρχοντες, μεγάλως ἐθαυμάσαν.
Ἐπήρασι τὸν γέροντα, τὸ κιόνι νὰ τοὺς δείξῃ.
Καὶ ἀφοῦ ἀπῆλθαν εἰς αὐτὸν καὶ ἐπληροφόρεσάν τον,
[Μεγάλως τὸ ἐθαυμάστησαν καὶ πάλαι ἐχάρισάν το].
Διατὶ ἤβραν τὸ ἐπιδέξιόν τους τὸν ἄπιστον νὰ κρίνουν.
900 Ὥρισαν γὰρ καὶ ἠφέραν τον, κ' ἐκεῖ τὸν ἀνηβάσαν·
Ἀπὸ τὸ ὕψος τοῦ κιονιοῦ κάτω τὸν ἐκρεμνίσαν.

[1] Au lieu de ces sept derniers vers on lit ce vers dans le ms. de Paris:
Ὁ κάτις λέγει πρὸς αὐτοὺς, οὕτως τοὺς συντυχαίνει.

Οἱ δαίμονες ἐφάνησαν ὁποῦ ἐπῆραν τὴν ψυχήν του.
[Ἀφότου γὰρ ἐγίνετον ἡ κρίσις τοῦ δημηγέρτη,
Ὅλοι οἱ μεγάλοι ἄρχοντες, οἱ πρῶτοι τοῦ φουσάτου
905 Εἰς τὸ παλάτι ἀπήλθασιν, ἐκεῖνο τοῦ βασιλέως [1]].
Βουλὴν ἐπῆραν ἐνομοῦ μικροί τε καὶ μεγάλοι,
Τὸ πῶς νὰ πράξουν αἰσθητὰ περὶ τῆς βασιλείας.
Τὰ λόγια ἤσασι πολλὰ ἕως οὗ νὰ τὰ διακρίνουν.
Τὸ γὰρ εἰς τέλος εἴπασιν, οὕτως τὸ ἐσφαλῆσαν·
910 Ὅτι ἀφῶν ὑπαγαίνασιν ἐκεῖθε εἰς τὴν Συρίαν,
Καὶ ὁ πάπας ὁ ἁγιώτατος μετ' ἐντολῆς μεγάλης
Τοὺς ὥρισε ν' ἀφήσουσιν ἐκεῖνο τὸ ταξεῖδι,
Ν' ἀπέλθουν καὶ νὰ βάλωσιν Ἀλέξιον τὸν Βατάτζην
Εἰς τὸ σκαμνὶ τῆς βασιλείας, κ' ἐκεῖνοι τὸν ἐβάλαν·
915 Καὶ ἀπαύτα ἐκ τοὺς ἴδιους του, ἐκ τῶν Ῥωμαίων τὸ γένος
Ἔσφαξαν, ἀποκτεῖναν τον καὶ ἐθανάτωσάν τον,
Καὶ οὐκ ἔνι ἄλλος ἀπ' αὐτοῦ ἄξιος τῆς βασιλείας,
«Ἂς τὴν κρατήσωμεν διὰ μᾶς, καὶ ἂς μείνωμεν ἐνταῦθα·
«Μὲ δίκαιον τὴν ἐπήραμεν, μὲ τοῦ σπαθιοῦ τὸ ξίφος.»
920 Καὶ ἀφοῦ τὸ ἀφιρώσασιν οὕτως, ὡσὰν τὸ λέγω,
Βουλὴν ἐπῆραν ἐνομοῦ νὰ ποιήσουν βασιλέα.
Ἔκλεξαν δώδεκα ἄρχοντας, ἄξιους, φρονιμωτάτους·
Οἱ ἕξη ἦσαν ἀρχιερεῖς, καὶ οἱ ἕξη φλαμπουριάροι.
Συνθήκαις καὶ ὅρκον ἔπηκαν νὰ ἐκλέξουν βασιλέα
925 Μὲ πιστωσύνην τοῦ Θεοῦ, ἄνευ τρόπου καὶ δόλου.
Ἐσέβησαν εἰς ἕνα κελλὶν· ἐκεῖ τοὺς ἀποκλεῖσαν,
Ἕως ὅτου νὰ πληρώσουσι τὸν βασιλέα τῆς πόλης.
Πολλὰ ἐταραχεύθησαν ἀλλήλως μὲ τὰ λόγια,

[1] A la place de ces trois vers est ce vers dans le ms. de Paris:
Καὶ ἀφόντου ἐπληρώθηκε τοῦ δημηγέρτου ἡ κρίση.

Διατὶ οὐκ ἰσιάζονταν ἐνομοῦ νὰ ποιήσουν βασιλέα·
Ἐπειδὴ τινὲς ἐλέγασι, καὶ εἰς σφόδρα ἐπαινοῦσαν
Τὸν δοῦκαν γὰρ τῆς Βενετιᾶς φρόνιμον καὶ ἐπιδέξιον,
Καὶ ἔλεγαν ὅτι ἄξιος ἦτον τῆς βασιλείας.
Καὶ ἀπὸ τῆς τόσης ταραχῆς, ὁποῦ 'χασιν ἀλλήλως,
Ὁ κἄποιος ἦλθεν καὶ εἶπε το τὸν δούκα Βενετίας.
Κ' ἐκεῖνος, ὡς παμφρόνιμος καὶ εἰς ὅλα ἐπιδέξιος,
Σπουδαίως ἀπῆλθεν εἰς ἐκείνους τοὺς δώδεκα φρονίμους,
Τὴν θύραν ἀκριοκτύπησεν, διὰ νὰ τὸν αὐκραστοῦσιν,
Καὶ εἶπεν οὕτως πρὸς αὐτούς· « Ἄρχοντες, αὐκραστῆτε·
« Ὁ κἄποιος λόγους μ' ἔφερεν, ἦλθεν, καὶ ἀπέσωσέ τους,
« Τὸ πῶς ὁ κἄποιος ἀπὸ ἐσᾶς, ἀπὸ τῆς ἀρετῆς τους,
« Ὡς εὐγενεῖς καὶ φρόνιμοι, τὸ θέλημά τους λέγουν·
« Καὶ λέγουν λόγον δι' ἐμὲ ὡς διὰ τὴν βασιλείαν,
« Ὅτι εἶμαι ἄξιος νὰ γένω τῆς πόλης βασιλέας.
« Λοιπὸν ἐγὼ, ὡς φρονίμους, φίλους καὶ ἀδελφούς μου
« Μεγάλως τοὺς εὐχαριστῶ· ὁ Θεὸς νὰ τοὺς τὰ στρέψῃ
« Τὸ εἴπασι καὶ λέγουσι δι' ἐμὲ τὸν ἀδελφόν τους.
« Ὅμως ἐγὼ ἀπὸ τοῦ Θεοῦ τὴν χάριν καὶ τὴν δόξαν
« Οὐδὲν εὑρίσκω εἰς ἐμὲ, λέγω εἰς τὸν ἐνιαυτόν μου
« Τοσούτην ἀδιάκρισιν, νὰ μὴ τὴν ἐγνωρίζω.
« Ὅτι εἰς τὸ κουμμοὺν τῆς Βενετιᾶς ἐξέβησαν ἀνθρῶποι
« Γνώσεως μεγάλης καὶ στρατείας, ὡσὰν καὶ εἰς ἄλλους τόπους,
« Ἀλλὰ τινὰς οὐκ ἔφθασε ποτέ του εἰς τόσην δόξαν,
« Τὸ στέμμα τὸ βασιλικὸν νὰ τοῦ τὸ ἔχουν φορέσει.
« Ἐν τούτῳ σᾶς παρακαλῶ ὡς φίλους καὶ ἀδελφούς μου,
« Νὰ παύσουσι τὰ σκάνδαλα, ἡ ταραχὴ, τὰ λόγια·
« Καὶ ὅσοι ἐλαλήσετε δι' ἐμὲ νὰ γένω βασιλέας,
« Ἐπαίρνω ἐγὼ τοὺς λόγους τους καὶ ταῖς φωναῖς ὁποῦ εἶπαν,
« Καὶ θέτω ἀπάνω εἰς αὐτὰς καὶ ἐγὼ τὸν ἐδικόν μου.

«Καὶ ἂς μίξωμεν καὶ τῶν ἄλλων, νὰ ποιήσωμεν ὁμάδα
960 «Τῶν δώδεκα τὴν ἐκλογὴν, νὰ πληρωθῇ τὸ πρᾶγμα.
«Καὶ ἂς ποιήσωμεν διὰ βασιλέα τὸν κόντον τὸν Βαλδουδίνον,
«Ὁποῦ ἔνι αὐθέντης φυσικὸς, αὐθέντης τῆς Φιλάντριας·
«Διατὸ εἶναι εὐγενὴς καὶ ἄξιος, χρήσιμος εἰς τοὺς πάντας,
«Καὶ ἔντιμος νὰ ἔνι βασιλέας ἀπ' ὅλους τοῦ φουσάτου.»
965 Ἤκουσαν ταῦτα οἱ δώδεκα, ὁποῦ σᾶς ἀφηγοῦμαι,
Ὁποῦ 'σαν ὅλοι ἐκλεκτοὶ νὰ ποιήσουν βασιλέα,
Ἐνταῦθα ἐσυγκατέβησαν, καὶ ὅλοι τὸ ἐστεργῆσαν.
Ἀπεκεῖ ἐσηκώθησαν, ὁποῦ ἦσαν μαζωμένοι·
Εἰς τὸ παλάτι ἀπῆλθασιν αὐτοῦ τοῦ βασιλέως·
970 Ἐλάλησαν νὰ σωρευθοῦν οἱ πάντες τοῦ φουσάτου,
Ν' ἀκούσουν τὴν ἀπόκρισιν, τὰ εἶπαν καὶ ὠρθῶσαν,
Τοῦ βασιλέως τὴν ἐκλογὴν, ποῖος χρεώστει νὰ ἔνι.
Καὶ ἀφότου ἐσωρεύθησαν οἱ πάντες τοῦ φουσάτου,
Εἰς τὰ παλάτια τὰ λαμπρὰ, ἐκεῖνα τοῦ βασιλέως,
975 Ἕνας ἀπὸ τοὺς δώδεκα, ὁ φρονιμότερός τους,
Τὸν λόγον τοὺς ἐβάσταξεν, ἐφάνισε τὸ πρᾶγμα·
Τὸ πῶς μὲ φόβον τοῦ Θεοῦ, μὲ προσοχὴν μεγάλην,
Τὸν κόντον τῆς Φιλάντριας ἐκλέξασιν διὰ βασιλέαν καὶ ῥῆγαν
Τῆς πόλεως καὶ τῆς βασιλειᾶς ὅλης τῆς Ῥωμανίας.
980 Ἤκουσαν ταῦτα οἱ ἅπαντες, μικροί τε καὶ μεγάλοι,
[Οἱ πλούσιοι γὰρ καὶ οἱ εὐγενικοὶ, τὸ κοινὸν τοῦ φουσάτου]
Εἰς σφόδρα τὸ ἠγαπήσασιν, ἔστερξαν καὶ ἀφηρῶσαν,
Ὁ κόντος γὰρ ὁ Παντουὴς νὰ εἶναι βασιλέας.
Ἠφέρασιν τοῦ βασιλέως τὸ στέμμα καὶ τὸν σάκκον,
985 Ἐστέψασιν καὶ ἔντυσαν τον ὡς βασιλέα, σᾶς λέγω·
Καὶ εὐφήμισαν, ἐδόξασαν, ὡς πρέπει καὶ ὡς λαχάνει.
Καὶ ἀφότου τὸν ἐστέψασι, καὶ ἐγείνη βασιλέας,
Σκάνδαλον μέγα ἐγίνετο καὶ ταραχὴ μεγάλη

Εἰς τοὺς Λουμπάρδους, σὲ λαλῶ, ὁμοίως καὶ εἰς τοὺς Φράγκους,
990 Ὁποῦ ἠγαποῦσαν καὶ ἤθελαν νὰ γένῃ ὁ μαρκέσης.
[Ἐκεῖνος γὰρ τοῦ Μουφαρᾶ ὁποῦ ἦτον καπετάνος
Εἰς τὰ φουσάτα καὶ λαὸν, καθὼς σε τὸ προεῖπα.]
Ἐνταῦθα ὁ παμφρόνιμος δούκας τῆς Βενετίας,
Ἐκεῖνος ὁ μισὺρ Ἀρὶς, ντὲ Ἄντουλο τὸ ἐπίκλην,
995 Ἐβάλθη μετὰ ἕτερους τὰ σκάνδαλα νὰ ἐσβύσῃ·
Ἐπῆρε γὰρ καὶ μετ' αὐτοῦ τὸν κόντον τῆς Τουλούζας·
Τοσαῦτα ἤξευρε νὰ εἰπῇ, τόσον νὰ τοὺς πραΰνῃ·
Εἶπε καὶ καθωδήγευσεν, ὡς φρόνιμος 'ποῦ ἦτον·
« Ἄρχοντες, φίλοι καὶ ἀδελφοὶ, ἀφότου ἐγενέτον
1000 « Ἡ ἔκλεξις τοῦ βασιλέως, ἐστέφθη καὶ ἐπληρώθη,
« Ἄσχημον πρᾶγμα καὶ ἄπρεπόν, κατηγοριὰ μεγάλη,
« Ὅσοι τὸ εἰποῦν καὶ ἀκούσασιν εἰς ὅλην τὴν οἰκουμένην,
« Ὅτι μὲ λόγου καὶ ἐκλογῆς τέτοιων μεγάλων ἀνθρώπων
« Ἐγένετο ἡ ἐκλογὴ, καὶ ἐστέφθη ὁ βασιλέας,
1005 « Καὶ ἀπ' αὐτοῦ ἐμετανοήσετε, ὡς φαίνεται διὰ φθόνον.
« Ἐν τούτῳ λέγω πρὸς ἐσᾶς, ἀξιῶ, παρακαλῶ σας,
« Ἂς λείψουσι τὰ σκάνδαλα· οὐδὲν εἶναι τιμή σας·
« Ἀφοῦ ἐγείνη βασιλεὺς τῆς Φιλάντριας ὁ κόντος,
« Ἂς γένῃ καὶ τοῦ Μουφαρᾶ αὐτοῦνος ὁ μαρκέζης
1010 « Ῥήγας καὶ αὐθέντης ἡγονικὸς τῆς Σαλονίκης πόλης
« Μὲ ὅσα διαφέρνει ἀπ' αὐτῆς καὶ ὀφείλει νὰ ἀφεντεύῃ. »
[Τὸ ἀκούσει ταῦτα ὁ λαὸς, μικροί τε καὶ μεγάλοι
Οἱ πλούσιοι γὰρ καὶ τὸ κοινὸν τοῦ φράγκικου φουσάτου.]
Στριγγὴν φωνὴν ἐλάλησαν, ὅλοι τὸ ἐπροσκυνῆσαν.
1015 Καὶ ἀφότου τὸ ἐστεργήθησαν, καὶ ἐστέψασι διὰ ῥῆγαν,
Τὸν Μπονιφάτζον σὲ λαλῶ, ἐκεῖνον τὸν μαρκέζην,
Ἐπαύσασι τὰ σκάνδαλα, καὶ ἐγένετον εἰρήνη.
Μετὰ ταῦτα ἐδιορθώσασι τοὺς δώδεκα ἐκείνους,

Ὁποῦ ἔκλεξαν τὸν βασιλέα, τὴν μερησίαν νὰ ποιήσουν
1020 Τοῦ τόπου τῆς Ἀνατολῆς καὶ ὅλης τῆς Ῥωμανίας,
Ὅσον διαφέρνει τῆς Πόλεως, τῆς βασιλείας σὲ λέγω,
Πρὸς τὴν ἀξίαν καὶ οὐσίαν τοῦ καθ' ἑνὸς καὶ ἑκάστου,
Καὶ τὸν λαὸν ὁποῦ εἶχασιν εἰς τὴν κουνκέσταν ἐκείνην.
Μὲ κλήρους καὶ μὲ προσοχὴν ἡ μερησία ἐγενέτον.
1025 Ἔτυχε γὰρ τῆς Βενετίας τοῦ τέταρτου ἡ μερίδα,
Καὶ τὸ ἥμισον τοῦ τέταρτου, ὄγδοον τὸ λέγουν ἄλλοι,
Ἀπὸ τὴν χώραν τῆς Πολέου καὶ ὅλης τῆς Ῥωμανίας,
Καθὼς τὸ γράφεται ἀκόμα ὁ δούκας τῆς Βενετίας
Εἰς τὰς γραφὰς καὶ εἰς τὴν τιμὴν τῆς αὐθεντείας ἠποῦ ἔχει.
1030 Λοιπὸν ἐτότες, ὁποῦ λαλῶ, εἰς τὸν καιρὸν ἐκεῖνον
Ἦτον αὐθέντης τῆς Βλαχιᾶς καὶ ὅλης τῆς Ἑλλάδος,
Τῆς Ἄρτας, τῶν Γιανινῶν καὶ ὅλου τοῦ δεσποτάτου,
Κὺρ Ἰωάννην τὸν ὠνόμαζαν, Βατάτζης εἶχεν τὸ ἐπίκλην.
Καὶ ὡς ἤκουσε καὶ ἔμαθε, καὶ ἐπληροφορήθη,
1035 Τὸ πῶς οἱ Φράγκοι ἐπήρασι τὴν αὐθεντειὰν τῆς Πόλης,
Καὶ ἐστέψασι καὶ βασιλέα, ἀπήρασιν τὰ κάστρη,
Ταῖς χώραις ἐμερίσασιν ὅλης τῆς Ῥωμανίας,
Εὐθέως σπουδαίως ἀπέστειλεν ἐκεῖ εἰς τὴν Κουμανίαν.
Δέκα χιλιάδες ἤλθασιν ὅλοι ἐκλεκτοὶ Κουμάνοι
1040 Μὲ Τουρκομάνους ἐκλεκτούς· ὅλοι ἐκαβαλλικεύαν·
Ἄρματα εἴχασι καλὰ· διαρίχια ἐφοροῦσαν·
Οἱ μὲν κοντάρια ἐβάστεναν, οἱ δ' ἕτεροι βεργέταις.
Ἐσώρεψεν καὶ τὸν λαὸν ὅλης τῆς αὐθεντειᾶς τοῦ·
Φουσάτα ἐπεριεσώρευσεν μεγάλα καὶ ἀνδρειωμένα.
1045 Καὶ ἄρχισε μάχην δυνατὴν νὰ πολεμῇ τοὺς Φράγκους·
Οὐχὶ ποτὲ εἰς πρόσωπον νὰ πολεμήσῃ εἰς κάμπον,
Ἀλλὰ μὲ τρόπον, μηχανιαῖς, ὡς ἂν τὸ κάμνουν οἱ Τοῦρκοι.
Διαβόντα γὰρ ἕνας καιρὸς ἐγύρισεν ὁ ἄλλος.

Μὲ πονηρίαν ἀπόστελνεν τοὺς καταπατηπάδαις
1050 Τοῦ νὰ μαθαίνῃ ἀδιάλειπτα ταῖς τῶν Φράγκων γὰρ πράξαις.
Καὶ ὡς ἔμαθε πληροφοριὰν τὸ ποῦ ἦτον ὁ Μπονιφάτζιος,
Ὁ ῥήγας τοῦ Σαλονικιοῦ (οὕτως τὸν ὠνομάζαν),
Ταῖς νύκταις ἐπερπάτησεν, ἕως οὗ νὰ ἐφθάσῃ ἐκεῖσε.
Τὰ ἐκρύμματα του ἔβαλεν εἰς ἐπιδέξιους τόπους·
1055 Καὶ ὡσὰν ἐξημέρωσε, καὶ ἐπλάτυνεν ἡ ἡμέρα,
Διακόσιους γὰρ ἐδιώρθωσε, ὁποῦ ἦσαν ἐλαφρίταις·
Καὶ ἔδραμαν καὶ ἐκούρσευσαν γύρον τοῦ κάστρου ἐκείνου.
Τὸ κοῦρσο ἐπεριμάζωξαν, ἐπῆρασιν, ὑπαγένουν.
Τὸ ἰδεῖ οἱ Λομπάρδοι, ὁποῦ ἤσασιν ἐκεῖσε μὲ τὸν ῥῆγαν,
1060 Σπουδαίως ἀπῆραν τὰ ἅρματα, πηδοῦν, καβαλλικεύουν·
Ἀτός του ὁ ῥήγας μετ' αὐτοὺς ἐξέβηκεν ὁμοίως,
Ὡς ἄνθρωποι ἀπαίδευτοι τῆς μάχης τῶν Ῥωμαίων.
Ὀμπρός, ὀπίσω ἐξέβησαν πρὸς εἴκοσι καὶ τριάντα·
Καὶ ἐκεῖνοι, ὁποῦ ἐκουρσεύασιν, καὶ ἔφευγαν μετὰ κοῦρσο,
1065 Ἕως οὗ νὰ τοὺς προφέρωσιν ἀπέσω εἰς τὰς χωσίας.
Ἐνταῦθα ἀπεχώσιασαν γύρωθεν ἡ χωσίαις,
Καὶ τοὺς Λουμπάρδους ἄρχισαν, νὰ τοὺς θέλουν τοξεύει.
Ἔδειχναν, ὅτι φεύγουσιν ἐκεῖνοι οἱ Κουμάνοι,
Καὶ ἐγύριζαν ὀπίσω τους, καὶ τὰ φαρία ἐδοξεῦαν.
1070 Οἱ δὲ Λουμπάρδοι ὡς εἴδασι μετὰ τὸν Μπονιφάτζιον,
Ἐκεῖνον τὸν αὐθέντην τους, τοῦ Σαλονίκιου τὸν ῥῆγαν,
Τὸ πῶς τοὺς ἐτριγύριζαν, καὶ ἐκαταδόξευάν τους,
Ὅλοι ἐνομοῦ ἐσωρεύθησαν, νὰ ζήσουν, καὶ ἀποθάνουν.
Οἱ δὲ Κουμάνοι καὶ Ῥωμαῖοι οὐκ ἐζύγωνάν τους·
1075 Μὲ τὰς σαγίτας ἀπὸ μακρυὰ τοὺς ἐκαταδοξεῦαν·
Καὶ οὕτως τοὺς ἐθανάτωσαν, καὶ ἀποκτείνασί τους.
Ἀπαύτου δὲ καὶ ἔμπροσθεν, καθὼς τὸ ἀφηγοῦμαι,
Μὲ πονηριὰν καὶ μηχανιὰν, ὡς τό 'χουν οἱ Ῥωμαῖοι,

Τοὺς Φράγκους ἐμαχεύθησαν· ἐπέρναν τους καὶ ἐδίδαν,
1080 Καθὼς τὸ ἔχουν πανταχοῦ ἡ μάχαις καὶ ἡ στρατείαις,
Ἕως ὅτου ἐπεράσασι τῶν τριῶν χρόνων τὸ τέλος.
Καὶ ἀφότου ἐπληρώθησαν οἱ τρεῖς χρόνοι καὶ ἀπάνω,
Ὁ Βαλδουδὶς ὁ βασιλεὺς ὠρέχτικεν νὰ ἀπέλθῃ
Ἐκεῖ εἰς τὴν Ἀνδριανόπολιν· χώρα μεγάλη ὑπάρχει.
1085 Καὶ ὡς ἂν ἐδιάβηκεν ἐκεῖ, καθὼς σὲ τὸ ἀφηγοῦμαι,
Ὁ κάποιος τοῦ τὸ ἐμηνύτευσεν ἐκείνου τοῦ δεσπότου·
[Τοῦ Καλοϊωάννη σε λαλῶ, τοῦ αὐθέντου τῆς Βλαχίας]·
Καὶ ἐκεῖνος ὡς τὸ ἤκουσεν, καὶ ὡς τὸ ἐπληροφορέθη,
Γοργὸν, σπουδαίως, σύντομα, μὲ προθυμιὰν μεγάλην
1090 Καταπαντόθεν ἐσώρευσεν ὅλα του τὰ φουσάτα·
Ἐκεῖσε εἰς τὴν Ἀνδριανόπολιν σπουδαίως ἐκαταφθάσεν.
Τί νὰ σὲ λέγω τὰ πολλὰ, πολλάκις νὰ βαρειέσαι,
Ἐπειδὴ καὶ ἐγὼ, ὡς ἂν καὶ ἐσὲ βαρειῶμαι νὰ τὰ γράφω;
Ἀλλὰ διὰ συντομώτερον, καὶ διὰ κοντοὺς τοὺς λόγους,
1095 Σὲ λέγω, καὶ πληροφορῶ, μὲ ἀλήθειαν σὲ τὸ γράφω,
Ὅτι, ὡσὰν τὸ ἔπηκαν ἐκείνου τοῦ μαρκέζη,
Τοῦ ῥήγα τοῦ Σαλονικίου, καθὼς σὲ τὰ ἀφηγήθην,
Τὸ ἐποίησαν καὶ Μπαλδουΐς, τοῦ βασιλέως τῆς Πόλης·
Μετὰ χωσίαις καὶ μηχανίαις οὕτως τοὺς ἐπλανῆσαν,
1100 Καὶ ἐξέβησαν εἰς τὴν φωνὴν καὶ ταραχὴν ἐκείνην,
Ὁποῦ ἐλάλησαν καὶ εἴπασιν ὅτι ἦλθαν τὰ φουσάτα
Τοῦ Καλοϊάννη, σὲ λαλῶ, ἐκείνου τοῦ δεσπότου.
Πεντακοσίους ἀπέστειλεν ἐκεῖνος ὁ δεσπότης,
Ὁποῦ ἔδραμαν καὶ ἐκούρσευσαν τοὺς κάμπους καὶ τοὺς τόπους
1105 Ἐκεῖ εἰς τὴν Ἀνδριανόπολιν, ποῦ ἦτον ὁ βασιλέας.
Ὥρισεν γὰρ ὁ βασιλέας τὸν πρωτοστράτοράν του,
Καὶ τὰ σαλπίγγια ἐλάλησαν· πηδοῦν, καβαλλικεύουν·
Εἶχε Φλαμέγγους ἑξακοσίους καὶ τριακοσίους Φράγκους,

Ὁποῦ ἦσαν ὅλοι ἐκλεκτοί· φαρία ἐκαβαλικεύαν.
1110 Ἄρματα εἶχασιν λαμπρά, ὡς τὰ ἔχουσιν οἱ Φράγκοι.
Ἄλλοι ζημία ὁποῦ ἐγένετον ἐκείνην τὴν ἡμέραν
Εἰς τέτοιους ἀνθρώπους εὐγενικοὺς ἀπὸ τὸ ἄνθος τῆς Φραγκίας,
Τὸ πῶς ἐκαταλύθησαν, καὶ ἀδίκως ἀποθάναν,
Διὸν οὐκ ἤξευραν καμποσῶς τὴν μάχην τῶν Ῥωμαίων.
1115 Ἤρθασι γὰρ οἱ ἄρχοντες οἱ Ἀνδριανοπολῖται,
Καὶ λέγουσιν τοῦ βασιλέως· « Αὐθέντη μου, δεσπότη,
« Κράτησε τὰ φουσάτα σου, μηδὲν εὔγασιν ἔξω.
« Ἐπειδὴ αὐτοὶ, ὁποῦ θεωρεῖς, ὅτι ἦλθαν καὶ κουρσεύουν,
« Ὡς πλάνοι ἦλθασι κλεπτῶς νὰ μᾶς ἐξεμαυλήσουν·
1120 « Τὰ δὲ φουσάτα, ὁποῦ ἔχουσιν, ὅλοι εἶν' χωσιασμένοι,
« Καὶ ἀναμένουν ὡς δι' ἐμᾶς νὰ μᾶς ὑπάγουσιν ἐκεῖσε.
« Αὐτῆνοι γὰρ οὐ πολεμοῦν ὡσὰν ἐσεῖς οἱ Φράγκοι,
« Εἰς κάμπον ν' ἀναμένουσι νὰ δώσουν κονταρίαις,
« Ἀλλὰ μὲ τὰ δοξάρια τους φεύγοντας πολεμοῦσι.
1125 « Καὶ πρόσεχε, αὐθέντη μας καλὲ, μηδὲν εὐγῇς εἰς αὔτους.
« Ἂν μᾶς ἐπῆραν ἄλογα, πρόβατά τε καὶ βόας,
« Ὡς δανεικὰ ἂς τὰ πάρουσιν, ἂν τύχῃ, νὰ τὰ στρέψουν. »
Ἀκούσας τοῦτο ὁ βασιλεὺς, ἐκατηγόρησέ το,
Χολιαστικὰ τοὺς ὥρισε πλέον νὰ μὴ τὸ εἰποῦσι,
1130 Διότι πρᾶγμα λέγουσιν κατηγοριὰν μεγάλην.
« Νὰ βλέπω μὲ τὰ ὀμμάτια μου ἐμπρός μου τοὺς ἐχθρούς μου
« Ὁποῦ ζημιόνουν, καθελοῦν, τοὺς τόπους μου κουρσεύουν·
« Καὶ ἐγὼ νὰ στέκω ὡς νεκρὸς, καὶ νὰ τοὺς ὑπομένω;
« Καλλιον ἔχω τὸν θάνατον, σήμερον ν' ἀποθάνω,
1135 « Παρὰ νὰ ὑπᾶσιν ἀλλαχοῦ νὰ μὲ κατηγορήσουν. »
Ὥρισεν, ἐλαλήσασιν καὶ εἶπαν τὰ σαλπίγγια.
Εἰς τρία ἀλάγια ἐχώρισε τοὺς Φράγκους ὁποῦ εἶχε,
Καὶ τοὺς Ῥωμαίους εἰς ἄλλα τρία, καὶ ἐξέβγασαν 'ς τὸν κάμπον,

Τὸ ἰδεῖ τους γὰρ οἱ Κουμανοὶ, ἐκεῖνοι ὁποῦ ἐκουρσεῦαν,
1140 Τὸ πῶς ἐξέβησαν εἰς αὐτοὺς, ἐχάρησαν μεγάλως·
Ἔδειξαν ὅτι φεύγουσι μὲ τὸ κοῦρσο ὁποῦ εἶχαν.
Καὶ οἱ Φράγκοι, ὡς ἀπαίδευτοι τῆς μάχης γὰρ ἐκεύης,
Ἄρχισαν νὰ τοὺς διώκουσιν διὰ νὰ τοὺς ἔχουν σώσει·
Καὶ ἐκεῖνοι πάλε φεύγοντας, τοὺς ἐκαταδοξεῦαν,
1145 Τὰ ἄλογα καὶ τὰ φαριὰ ὁποῦ ἐκαβαλλικεῦαν.
Τόσων τοὺς ἐπαράσυραν, καὶ ἐξεμαύλησάν τους,
[Ὅτι τοὺς ἀπεσώσασιν ἐκεῖσε εἰς τὴν χωσίαν]
Εὐθεὼς ἐξεχωσιάσασιν οἱ Τοῦρκοι καὶ οἱ Κουμάνοι.
Ἄρχισαν νὰ δοξεύουσι τῶν Φράγκων τὰ φαρία.
1150 Οἱ Φράγκοι γὰρ ἐλογίασαν πόλεμον νὰ τοὺς ποιήσουν
Μὲ τὰ κοντάρια καὶ σπαθιὰ, ὡς ἦσαν μαθημένοι.
Οἱ δὲ Κουμάνοι ἐφεύγασι, καὶ οὐδὲν τοὺς ἐπλησιάζαν·
Μόνοι μὲ τὰ δοξάρια τους ἀπὸ μακριὰ δοξεύαν.
Καὶ τόσα ἐκαταδόξευσαν, ὅτι ἀπέκτειναν τους.
1155 Ἐψόφησαν καὶ τὰ φαριὰ, οἱ καβαλλάροι ἐπέσαν.
Σαλίβαις εἶχαν τούρκικαις, ὁμοίως καὶ ἀπελατίκια·
Μ' ἐκεῖνα τοὺς ἐσύχναζαν ἀπάνω εἰς τὰ κασίδια,
Καὶ ἀπέκτειναν τὸν βασιλεὰ, καὶ ὅλα του τὰ φουσάτα.
Ἴδε ζημιὰ ὁποῦ ἐγίνετο ἐκείνην τὴν ἡμέραν·
1160 Πᾶς στρατιώτης εὐγενικὸς πρέπει νὰ τοὺς λυπᾶται,
Διατὶ ἀποθάνκαν ἄδικα δίχως νὰ πολεμήσουν.
Οἱ δὲ Ῥωμαῖοι ὁποῦ ἦσασι μετὰ τὸν βασιλέα,
Ἐκεῖ ἐκ τὴν Ἀνδριανόπολιν, ὀλίγοι γὰρ ἐλάβαν,
Ἐπὴν τὸ ἰδεῖ τὸν βασιλεὰ, τὸ πῶς τὸν ἀποκτεῖναν,
1165 Ἔφυγαν ὀπίσω, ἐστράφησαν, ἐσέβηκαν 'ς τὴν χώραν.
Μαντάτα ἐσυνεγάλασιν εἰς τὴν Κωνσταντίνου πόλιν,
Τὸ πῶς ἐκαταλύσασι τὸν βασιλέα οἱ Τοῦρκοι.
Ὁ δούκας γὰρ τῆς Βενετιᾶς εὑρέθηκεν ἐκεῖσε.

Εὐθέως φουσάτα ἐσώρεψεν, 'ς τὴν Ἀνδριανόπολι ἦλθε,
1170 Νὰ συμμαχήσῃ τὸν λαὸν, τὴν χώραν νὰ φυλάξῃ·
Ὡσαύτως ἐσυνεύγαλεν σπουδαίως ἀποκρισάρην
Ἐκεῖσε εἰς τὴν Ἀνατολὴν εἰς τὸν μισὺρ Ῥομπέρτον·
Αὐτάδελφος ἦτον τοῦ βασιλεῶς ἐκείνου τοῦ Βαλδουδίνου.
Χώραις καὶ κάστρη ἀφέντευεν ἐκεῖσε εἰς τὴν Νύμφον[1]·
1175 Εἶχε φουσάτα δυνατὰ, φλαμπουριάρους μετ' αὔτον. »
Καὶ ὡς τὸ ἤκουσε καὶ ἔμαθε καὶ ἐπληροφορήθη,
Τὸ πῶς ἐκαταλύσασι οἱ Τοῦρκοι τὸν βασιλέα,
Τὰ κάστρη του ἐσωτάρχησε, καὶ ἀπῆλθεν εἰς τὴν Πόλιν.
Ὁ δούκας γὰρ τῆς Βενετιᾶς ἐστράφηκεν ἐκεῖσε.
1180 Καταπαντούθεν ἐμήνυσε διὰ τοὺς φλαμπουριάρους,
Τοὺς πρώτους ὁποῦ αὐθέντευεν ἐτότε εἰς τὴν Ῥωμανίαν.
Καὶ ἀφότου ἐσωρεύθησαν καὶ ἐνώθησαν ἀλλήλως,
Ἐθρόνιασαν διὰ βασιλέαν ἐκεῖνον τὸν Ῥομπέρτον[2],
Τοῦ βασιλέως τὸν ἀδελφὸν ἐκείνου τοῦ Βαλδουδίνου.
1185 Ἐκεῖνος γὰρ ὁ βασιλεὺς, ὁ μισὺρ Ῥομπέρτος
Εἶχεν υἱὸν, τὸν ἔλεγαν κ' ἐκεῖνον Βαλδουδῖνον[3],
Ὅς τις ἐγίνη βασιλέας καὶ ἔχασε τὴν βασιλείαν.
Τὴν θυγατήρ του ἀπόστελνεν, διαβὼν ὀλίγοι χρόνοι·
Τοῦ ῥόη Ῥαγκοῦ τὴν ἔστελνεν νὰ ἐπάρῃ διὰ γυναῖκαν.
1190 'Σ τὸν Πονδικὸν ἐπιάσασιν τὰ κάτεργα λιμιόνα,
Ὁποῦ ἔνι γὰρ εἰς τὸν Μορέαν· κάστρον λαμπρὸν ὑπάρχει.
Ἐκεῖ εὑρέθη ὁ μισὺρ Ντζεφρὲς, αὐθέντης τοῦ Μορέως,
Ὁποῦ ἦτον πρῶτος ἀδελφὸς τοῦ πρίγκηπα Γυλιάμου.

[1] Nymphée. Une mauvaise leçon du ms. de Paris m'avait empêché de reconnaître ce mot.

[2] Non Robert, mais Henri.

[3] Ce second Baudoin était frère de Robert, et tous deux étaient fils de Pierre de Courtenai.

Μὲ μηχανιὰν καὶ φρόνησιν ἔπιασεν καὶ εὐλογήθη
1195 Τὴν θυγατὴρ τοῦ βασιλεῶς, ἐκείνου τοῦ Ῥομπέρτου.
Καὶ ὁ βασιλεὺς, ὡς τὸ ἤκουσε, μεγάλως τὸ ἐβαρύνθη.
Ὕστερον ἰσιάσθηκαν, καθὼς τὸ θέλεις μάθει
Ἐδῶ εἰς τοῦτο τὸ βιβλιὸν ἔμπροσθεν, εἰς ἄλλην λέξιν.
Ἐν τούτῳ παύω ἀπ' ἐδῶ, θέλω τοῦ νὰ σκολάσω
1200 Ἐν τούτῳ ὁποῦ ἀφηγήσομαι, ἄλλο νὰ καταπιάσω·
[Νὰ σᾶς εἰπῶ ἀφήγησιν καταλογὴν μεγάλην]
Τὸ πῶς ἐπράξαν οἱ Ῥωμαῖοι, ἀφότου ἐξεπέσαν,
Καὶ ἐχάσασιν τὴν βασιλειὰν τῆς Κωνσταντίνου πόλις.
[Ἐν τούτῳ ἄρξομαι ἀπεδῶ, αὐκράζου νὰ μανθάνης.]
1205 Τὸν χρόνον γὰρ καὶ τὸν καιρὸν ποῦ ἔπιασαν οἱ Φράγκοι
Τότε Κωνσταντινούπολιν, ὡσὰν τὸ ἀφηγοῦμαι,[1]
Ὡς εἶδαν οἱ ἄρχοντες Ῥωμαῖοι, οἱ πρῶτοι τῆς Ῥωμανίας,
Ἐκεῖσε εἰς τὴν Ἀνατολὴν ὁποῦ εἶχαν τὴν παῤῥησίαν,
Ἐκλέξασιν δι' αὐθέντην τους, καὶ βασιλέαν ἐθρονιάσαν
1210 Ἐκεῖνον τὸν κὺρ Θεόδωρον, Λάσκαριν τὸν ἐλέγαν·
Γαμβρὸς ἦτον τοῦ βασιλεῶς Κυρσάκη τοῦ Βατάτζη,
Καὶ εἶχε τὴν θυγάτερα του ὁμόζυγον γυναῖκα·
Καὶ ἀφότου τὸν ἐστέψασι, καὶ ἐποιήσαν βασιλέαν,
Τὰ κάστρη του ἐσωτάρχησε, καὶ ἐῤῥόγευσε φουσάτα,
1215 Τούρκους, Κουμάνους, Ἀλαϊνοὺς, Ζυχοὺς γὰρ καὶ Βουλγάρους.
Ἄρχισε τοῦ νὰ μάχεται μὲ προθυμιὰν μεγάλην
Τοὺς Φράγκους ὁποῦ εὑρίσκονταν εἰς τῆς Νικαίας τὰ μέρη,
Ἐκεῖσε εἰς τὴν Ἀνατολὴν, ὁποῦ εἶν' ἡ Φιλαδέλφια,
Ὁποῦ ἦτον γὰρ καὶ αὐθέντευεν ὁ μισὺρ Ῥομπέρτος ντὲ Φιλαντρίας·
1220 Καὶ ἐδιήρκησεν ἡ μάχη τους χρόνους κὰν τρεῖς καὶ πλέον,

[1] Ce vers est oublié dans le ms. de Copenhague, et je le restitue d'après le ms. de Paris.

Ἕως οὗ ἐσκοτώθη ὁ βασιλεὺς ἐκεῖνος ὁ Βαλδουβίνος,
Καὶ ἐστέψασιν διὰ βασιλεὰν ἐκεῖνον τὸν Ῥομπέρτον.
Ἔζησεν γὰρ ὁ βασιλεὺς ὁ Λάσκαρις ἐκεῖνος
Χρόνους καὶ ἔτη ὅσα ἠθέλησεν ὁ βασιλεὺς τῆς δόξης·
1225 Καὶ ὡσὰν τοῦ ἦλθε τὸ κοινὸν τοῦ κόσμου ν' ἀποθάνῃ,
Καὶ εἶχεν υἱόν μειράκιον, ἀνήλικος ὑπῆρχεν·
Ὥρισε καὶ ἐκράξασιν κὺρ Μιχαὴλ ἐκεῖνον,
Τὸν Παλαιολόγον σὲ λαλῶ, τὸν πρῶτον τῆς Ῥωμανίας,
Ὡς τίμιον καὶ φρονιμότερον εἰς ὅλους τοὺς Ῥωμαίους.
1230 Πρῶτα τοῦ ἐπαράδωκεν ἐκεῖνον τὸν υἱόν του,
Καὶ δεύτερον τὴν αὐθεντειὰν ὅλης τῆς βασιλείας.
Μετ' ὅρκον τὰ ἐπαράλαβεν ὅσα του ἐπαραδῶκε·
Πατέρα γὰρ τοῦ βασιλεῶς ὥρισε νὰ τὸν κράζουν.
Καὶ ὅσον ἐμετέστηκεν ὁ βασιλεὺς ἐκεῖνος,
1235 Ὁ Παλαιολόγος ὥρισε τὰ κάστρη ἐσωταρχῆσαν,
Ἔθηκε φύλαξαις καλαῖς· 'ς τὸ ὄνομά του ὠμῶσαν·
Τὸν ὅρκον ἐπαράλαβεν ὅλων τῶν κεφαλάδων,
Ὡσαύτως γὰρ καὶ τοῦ κοινοῦ ὅλης τῆς βασιλείας·
[Καὶ ἀφότου ἐπαράλαβεν ὅλην τὴν αὐθεντείαν
1240 Τοὺς ἄρχοντας ἐτίμησεν ὅλης τῆς βασιλείας]·
Τοὺς μὲν γὰρ εὐεργέτησεν, ἄλλων χώρας ἐδῶκε.
Καὶ ὅσον ἀπεκατάστησε ταῖς ὄρεξαίς τους ὅλαις,
Ἔπνιξεν καὶ ἐθανάτωσε τὸν αὐθεντόπουλόν του,
Τοῦ Λάσκαρι γὰρ τὸν υἱὸν τοῦ βασιλέως ἐκείνου.
1245 Εἶδε ἀνομία καὶ ἁμαρτία ὁποῦ ἔπηκεν ὁ ἄθλιος,
Νὰ πνίξῃ τὸν αὐθέντην του, νὰ ἐπάρῃ τὴν αὐθεντείαν·
Ποῖος νὰ τὸ ἀκούσῃ, καὶ νὰ εἰπῇ, ὅτι εἰς Θεὸν πιστεύουν
Ἄνθρωποι, ὁποῦ οὐδὲν κρατοῦν ἀλήθειαν οὔτε ὅρκον;
[Τὰ ἔθνη γὰρ τὰ ἀβάπτιστα ὅρκον ἂν σε ποιήσουν
1250 Πρὸς τὰ συνήθεια ὁποῦ ἔχουσιν, τὸν νόμον ὁποῦ κρατοῦσιν,

Πρῶτα νὰ λάβῃ θάνατον παρὰ νὰ σὲ ἐπιορκήσῃ.
Οἱ δὲ Ῥωμαῖοι, ὁποῦ λέγουσιν ὅτι εἰς Χριστὸν πιστεύουν,
Ὅσον σὲ ὀμνύει πλειώτερον καὶ ὅρκους σὲ ἀφιερώνει,
Τόσον σὲ μηχανεύεται διὰ νὰ σε ἀπεργώσῃ,
1255 Νὰ ἐπάρῃ ἀπὸ τὰ ῥοῦχα σου ἢ νὰ σε θανατώσῃ.]
Ἀλλοὶ καὶ τί κερδίζουσι, νὰ σφάλλουν πρὸς τὸν Θέον;
Καὶ πῶς τοὺς ἀπετύφλωσεν ἡ ἁμαρτιὰ ὁποῦ πράττουν·
Ὅτι τοὺς ἐξωλόθρευσεν ἀπὸ τὰ ἡγονικά τους,
Καὶ ἐγείνονταν αἰχμάλωτα ὅλης τῆς οἰκουμένης.
1260 Ποῖον ἄλλο γένος σήμερον εὑρίσκεται εἰς τὸν κόσμον
Νὰ τοὺς πουλοῦν ὡς ἀμάλωτα, μόνον καὶ τοὺς Ῥωμαίους;
Ὅμως ὡς πράττει ὁ καθεὶς, οὕτως θέλει ἀπολάβει.
[Τὴν λέξιν γὰρ ὁποῦ ἄρχησα νὰ λέγω καὶ νὰ γράφω,
Θέλω νὰ σοῦ ἀφηγήσωμαι ἕως ὅτου νὰ τὴν πληρώσω.]
1265 Ἀφότου ἐθανάτωσεν ὁ κὺρ Μιχαὴλ ἐκεῖνος,
Ὁ Παλαιολόγος σὲ λαλῶ, τὸν αὐθεντόπουλόν του
Τοῦ βασιλέως τὸν υἱὸν τοῦ Λασκάρη ἐκείνου,
Καὶ ἔλαβε τὴν αὐθεντειὰν ὅλης τῆς βασιλείας,
Φουσάτα ἐπερισώρευσεν, Τούρκους καὶ ἄλλαις γλώσσαις·
1270 Τὴν μάχην ἐπεχείρησε νὰ μάχεται τοὺς Φράγκους
Ἐκεῖσε εἰς τὴν Ἀνατολὴν, ὁποῦ εἶχεν τὸ ἐπιδέξιον.
Ἐκεῖνος γὰρ ὁ βασιλεὺς ὁ μισύρε Ῥομπέρτος
Οὐδὲν ἦτον εἰς τὸν καιρὸν ἐτότε ὁποῦ σε λέγω·
Διατὸ ἦτον ἀποθανὼν ὀμπρὸς ὀλίγους χρόνους,
1275 Καὶ αὐθέντευεν ὁ Βαλδουὶς ἐκεῖνος ὁ υἱός του,
Ὁποῦ ἔχασεν τὴν βασιλειὰν μὲ τὴν κακήν του πρᾶξιν.
Ἐν τούτῳ ἐσυμβιβάσθηκεν ἐκεῖνος ὁ Παλαιολόγος
Μὲ τὸ κουμοὺν τῆς Γένοβας, τὸν Γαλατὰν τοὺς δίδει,
Ὁποῦ ἔνι ἐκεῖθεν τῆς πόλεως, ἀπέκει τοῦ λιμιῶνος·
1280 Χώραν ἐπήκασιν ἐκεῖ, καὶ ἀπλίκην τους μεγάλην·

Ὅρκον, συνθήκας ἔπηκαν μετὰ τὸν βασιλέα[1],
Νὰ εἶναι ἀκουμέρκευτοι 'ς ὅλην τὴν Ῥωμανίαν,
Νὰ τοῦ βοηθοῦν μὲ κάτεργα εἰς ὅλαις του ταῖς μάχαις,
Νὰ ἔχουσι τὴν ῥόγαν τους καὶ τὴν φιλοτιμιάν τους.
1285 Κάτεργα ἐξῆντ' ἁρμάτωσεν ἐκεῖνος ὁ Παλαιολόγος·
Ἔβαλεν καὶ ἀρχίσασιν μάχην μετὰ τοὺς Βενετίκους,
Διατὸ ἦσαν εἰς βοήθειαν ἐκείνου τοῦ Βαλδουβίνου.
Ἐκράτησεν τὰ ἔμπατα, ταῖς στράταις τοῦ πελάγου,
Τοῦ νὰ μὴ φέρουσι ποθὲν σωτάρχιον εἰς τὴν πόλιν.
1290 Κ' ἐκεῖνος πάλε ἐπέρασε 'ς τῆς πολέου τὰ μέρη
Μ' ὅσα φουσάτα ἠμπόρεσε νὰ ἔχῃ περισωρεύσει·
Τὴν πόλιν ἐκατέκλεισε τῆς γῆς καὶ τῆς θαλάσσης.
Καὶ ἰδὼν ἐτοῦτο οἱ Ῥωμαῖοι, ὁποῦ ἦσαν εἰς τὴν πόλιν,
Σύντομα ἐσυμβιβάστησαν μετὰ τὸν Παλαιολόγον,
1295 Ὅρκον, συνθήκας ἔπηκαν, καὶ ἐμπάσαν τον ἀπέσω.
Καὶ ὡς εἶδε τοῦτο ὁ βασιλεὺς, ἐκεῖνος ὁ Βαλδουβίνος,
Τὸ πῶς τὸν ἀπιστήσασι τὸ γένος τῶν Ῥωμαίων,
Ἐκεῖσε ἐκατέφυγε μετὰ τοὺς Φράγκους ὅλους,
Ὁποῦ ἤσασιν γὰρ μετ' αὐτὸν, εἰς τὰ παλαιὰ παλάτια.
1300 Ἐκεῖ τὸν ἐπολέμησαν οἱ Τοῦρκοι καὶ οἱ Ῥωμαῖοι.
Ὡς εἶδε γὰρ ὁ βασιλεὺς, ἐκεῖνος ὁ Βαλδουβίνος,
Τὸ πῶς τὸν ἐκατάκλεισαν εἰς τὰ παλαιὰ παλάτια,
Κραδίν εἶχ' ἐξαίρετον (μέγα, λαμπρὸν ὑπῆρχεν),
Εἰς αὔτο ἐδιέβηκεν ἐκεῖ μὲ τρεῖς χιλιάδαις ἄλλους.
1350 Ἀπὸ τὴν πόλιν ἐξέβησαν, τὴν θάλασσαν ἐπλέψαν·
Ἔσωσαν 'ς τὴν Μονοβασιὰν, ἐκεῖσε ἀπλίκεψαν.
Ἐξέβησαν ἔξω εἰς τὴν γῆν καὶ εἰς τὸν Μωρέαν ἐσῶσαν.
Ἐκεῖ ἦτον ἐτότ' ὁ πρίγκηπας, ἐκεῖνος ὁ Γυλιάμος.

[1] Ce vers manque dans le ms. de Copenhague.

Τὸ μάθῃ ὅτι ἦλθεν ὁ βασιλεὺς, ἦλθε εἰς ἀπάντην του·
1310 Πολλὰ γὰρ τοῦ ἐτίμησεν ὡς βασιλεὺς ὁποῦ ἦτον.
Ὁ βασιλεὺς ἐσπούδαζε ν' ἀπέλθῃ εἰς τὴν Δύσιν,
Ἐλπίζοντας, λογιάζοντας νὰ τοῦ ἔχουν βοηθήσει
Ὁ πάπας μὲ τὴν ἐκκλησιὰν καὶ ὁ ῥήγας τῆς Φραγκίας,
Φουσάτα νὰ τοῦ δώσουσι καὶ συμμαχιὰν μεγάλην,
1315 Ὀπίσω πάλαι νὰ στραφῇ ἐκεῖσε εἰς τὴν Πόλιν.
Ἐν τούτῳ ἐνεμείνασι πολλοὶ ἀπὸ τὸν λαόν του
Ἐκεῖ μετὰ τὸν πρίγκιπα ἐκεῖνον τὸν Γυλιάμον,
Εἰς λογισμὸν νὰ τοὺς εὑρῇ ἐκεῖσε ὁ βασιλέας
Ἀ τὸ στρέμμα του νὰ στραφῇ ὁποῦ ἤλπιζεν ἀπ' ἐκεῖθεν.
1320 Ἐκεῖνοι γὰρ ἐνέμειναν ὁποῦ τοὺς ὠνομάζαν.
Ὁ πρῶτος, ὁ μισὺρ Ἀσελὴς, ντὲ Ντοὺθ[1] εἶχεν τὸ ἐπίκλην.
Αὐτάδελφος ἦτον τοῦ Καίσσαρη, ἐτότε τῆς πολέου.
Τὴν μητὴρ τοῦ μισὺρ Ντζεφρὲ, ἐκείνου ντὲ Ντουρνάη[2],
Ἐπῆρεν εἰς γυναῖκαν του, καὶ ἐνέμεινεν εἰς τὸν τόπον.
1325 Ἀπαύτου ἦτον ὁ μισὺρ Βηλὲς, ντὲ Ἀνόε[3] εἶχεν τὸ ἐπίκλην,
Ὁποῦ ἦτον πρωτοστράτορας τῆς Ῥωμανίας ἐτότε.
Ὁ πρίγκιπας εὐεργεσίαν τὴν Ἀρκάδιαν τοῦ ἔδωκεν.
Ἐνέμειναν οἱ ντὲ Μπλαθοὶ[4] καὶ ἐκεῖνοι οἱ ντὲ Βερήθοι[5].
Ντὲ Ἀμπὴ[6] ἦσαν τέσσαροι ἀδελφοὶ, Ντὲ Ἀνὴ ἦσαν ἄλλοι δύο.
1330 Ἄλλος ἦτον ντὲ Λεσπηγὰς[7] καὶ πλεῖστοι ἄλλοι συγγένες,

[1] Ancelin de Toucy. Voy. l'Index onomastique.
[2] Geoffroi de Tournai. Voy. l'Index onomastique.
[3] Vilain d'Aunoy. Voy. l'Index onomastique.
[4] Plancy. Voy. l'Index onomastique.
[5] Brice. Voy. l'Index onomastique.
[6] Chappes. Voy. l'Index onomastique.
[7] Lespinasse. Voy. l'Index onomastique.

Ὁμοίως καὶ ἄρχοντες Ῥωμαῖοι· ἐνέμειναν καὶ ἐκεῖνοι,
Τοὺς ὁποιους σὺ καὶ ὀνομάζω σε διὰ τὴν πολυγραφίαν[1].]

[1] Au lieu de ces douze vers on lit les huit suivants dans le ms. de Paris:

Πρῶτος γὰρ ὁ μισὺρ Ἀσελῆς, ντὲ Θοὺθ εἶχε τὸ ἐπίκλην,
Ὁποῦ ἦτον πρωτοστράτορας τότε τῆς Ῥωμανίας·
Κ' ἐδῶκέ του ὁ πρίγκιπας δῶρον τὴν Ἀρκαδίαν·
Ἐνέμειναν οἱ ντὲ Πλαθὶ, καὶ αὐτοὶ οἱ ντὲ Ἀνὶ ἦσαν δύο·
Ἄλλος ἦτον ντὲ Λεσπιγᾶς, καὶ ἄλλοι πολλοὶ σεργέντεις·
Καὶ ἄλλοι ἄρχοντες Ῥωμαῖοι ἐνέμειναν ἐκεῖσε,
Τοὺς ὁποίους οὐ 'νομάζω τους διὰ τὴν πολυγραφίαν.

ΤΟ ΠΩΣ

ΟΙ ΦΡΑΓΚΟΙ ΕΚΕΡΔΙΣΑΝ

ΤΟΝ ΤΟΠΟΝ

ΤΟΥ ΜΩΡΑΙΩΣ.

Ἐντᾶῦθα θέλω ἀπὸ τοῦ νῦν νὰ παύσω νὰ σὲ λέγω
Ταῖς πράξεις ὁποῦ ἐκάμασιν οἱ βασιλεῖς ἐκεῖνοι,
Ὁ Παλαιολόγος ἀλλαδὴ καὶ ὁ Βαλδουβὶς[1] ἐκεῖνος,
Διατὶ σπουδάζω νὰ γράφω εἰς τὸ προκείμενόν μου,
Καθὼς τὸ ἐπεχείρησα εἰς τὴν ἀρχὴν τοῦ λόγου,
Διὰ νὰ πληρώσω τῆς ἀρχῆς τοῦ πρόλογου τὸ τέλος,
Τὸ πῶς οἱ Φράγκοι ἐκέρδισαν τὸν τόπον τοῦ Μωρέως.
Ἐπειδὴ ἂν ἦσαι γνωστικὸς καὶ ἐξεύρῃς τὰ σὲ γράφω,
Καὶ ἄγροικος εἰς τὴν γραφὴν τὰ λέγεις νὰ ἀπεικάζῃς,
Πρέπει νὰ ἐκατάλαβες τὸν πρόλογον ὁποῦ εἶπα
Εἰς τοῦ βιβλίου μου τὴν ἀρχὴν, τὸ πῶς τὸ ἐκαταλέξα,
Ὅτι δι' ἀρχὴν θεμελίου εἶπα τὸ τῆς Συρίας,
Ὡσαύτως τῆς Ἀνατολῆς, ἔπειτα τῆς Πολέου,
Τὸ πῶς τοὺς τόπους ἐκείνους ἐκέρδισαν οἱ Φράγκοι,
Ὅπως νὰ ἔλθω καὶ φέρω σε καὶ νά σε καταλέξω

[1] Baudoin. Voy. l'Index onomastique.

Τὸ πῶς οἱ Φράγκοι ἐκέρδισαν ὁμοίως καὶ τὸν Μωραΐαν.
Καὶ ἂν ἔχῃς ὄρεξιν νὰ ἀκούσῃς πράξες καλῶν στρατιωτῶν,
Νὰ μάθῃς καὶ παιδεύεσαι, ἀλλάχη νὰ προκόψῃς.
Εἰ μὲν εἶξεύρεις γράμματα, πιᾶσε νὰ ἀναγινώσκῃς.
Εἴ τε εἶσαι πάλιν ἀγράμματος, κάθου σιμά μου, αὐκράζου.
Καὶ ἐλπίζω, ἂν ἦσαι φρόνιμος, ὅτι νὰ διαφορήσῃς.
Ἐπειδὴ πολλοὶ ἀπὸ ἀφήγησες ἐκείνων τῶν παλαίων
Ὁποῦ ἦλθασιν μετὰ ἐκείνους ἐπρόκοψαν μεγάλως.
Ἐν τούτῳ ἄρξομαι ἀπεδῶ καὶ αὐκράζου τά σε λέγω[1].
Ὁ κόντος ὁ παράξενος ἐκεῖνος τῆς Τζαμπανίας,
Ὁποῦ σε εἶπα εἰς τὴν ἀρχὴν τούτου τοῦ βιβλίου,
Ὁποῦ ἄρχισε τὸ πέραμα καὶ τὸ πασσάτζο ἐκεῖνο.
Μετὰ τοὺς ἄλλους ἕτερους εὐγενικοὺς ἀνθρώπους,
Ν' ἀπέλθη ἐκεῖσε εἰς τὴν Συριάν, εἰς τοῦ Χριστοῦ τὸν τάφον,
Καὶ ἐκλέξαν τον διὰ κεφαλὴν καὶ μέγαν καπετάνον
Εἰς τὰ φουσάτα ὁποῦ εἴχασι τότε οἱ πελεγρίνοι,

[1] Au lieu de ces vingt-quatre vers, on lit dans le ms. de Paris :

Ἐνταῦθα θέλω ἀπὸ τοῦ νῦν νὰ παύσω νὰ σὲ λέγω,
Ταῖς πράξες ὁποῦ ἔπραξαν οἱ βασιλεῖς ἐκεῖνοι,
Ὁ Παλαιολόγος, ἀλλαδὴ καὶ ὁ Βαλδουβῆς ἐκεῖνος·
Διατὶ σπουδάζω νὰ στραφῶ εἰς τὸ προκείμενόν μου,
Καθὼς τὸ ἐπεχείρησα εἰς τὴν ἀρχὴν τοῦ λόγου,
Διὰ νὰ πληρώσω τῆς ἀρχῆς, τοῦ πρώτου λόγου τέλος.
Καὶ ἂν ἀγαπᾷς δὲ νὰ ἀκοῦς πράξες καλῶν στρατιώτων,
Νὰ μάθῃς, νὰ παιδεύεσαι, ἂν τύχῃ, νὰ προκόψῃς,
Εἰ μὲν ἠξεύρεις γράμματα, σύχν' ἀναγίνωσκέ τα·
Εἰ δὲ καὶ εἶσ' ἀγράμματος, κάθου σιμά μου, μάθε·
Καὶ ἐλπίζω, ἂν ἦσαι φρόνιμος, τοῦ νὰ διαφορέσῃς
Ἀπὸ τῆς ἀφηγήσεως τῶν παλαιῶν ἐκείνων,
Ὁποῦ ἦλθασι μετ' ἐκεινοὺς, ἐπρόκοψαν μεγάλως.
Ἐτοῦτο ἄρξομαι ἀπ' ἐδῶ, ἄκουε νὰ σὲ λέγω.

Καὶ ἔπεσεν καὶ ἀπέθανεν, καθὼς σὲ τὸ ἀφηγήθην,
Εἶχε καὶ ἄλλους δυὸ ἀδελφοὺς δευτέρους ἀπ' αὐτόν·
Καὶ ὡς ἤκουσαν καὶ ἔμαθαν, τὸ πῶς οἱ Φράγκοι ἐκεῖνοι,
35 Ποῦ ὑπάγεναν εἰς τὴν Συρίαν, μὲ θέλημα τοῦ πάπα
Ἀφῆκαν τὸ ταξεῖδί τους καὶ ἀπῆλθαν εἰς τὴν Πόλιν,
Καὶ ἐκέρδισαν τὴν Ῥωμανιὰν καὶ ἐγίνησαν αὐθένταις,
Βουλὴν ἐπήρασιν ὁμοῦ ἐκεῖνοι οἱ δύο αὐταδέλφοι,
Νὰ μείνη ἕνας ἀπ' αὐτοὺς ἐκεῖ εἰς τὸ γονικόν τους,
40 Καὶ ἄλλος νὰ ἀπέλθη εἰς Ῥωμανιὰν διὰ νὰ κερδίση τόπον.
Λοιπὸν ὡς τὸ ἔχη ῥιζικὸν, ἡ χάρις τῶν ἀνθρώπων,
Καὶ οὐδὲν ὁμοιάζουν οἱ ἀδελφοὶ εἰς πρόσωψιν, εἰς χάριν·
[Ἦτον ὁ ὑστερνότερος ἀπὸ τοὺς δύο ἀδελφούς
Ὁ κάτι ἐπιδεξιώτερος καὶ φρονιμότερός τους][1]
45 Καὶ ἰσιάσθησαν οἱ δυὸ ἀδελφοὶ, ὁ πρῶτος ν' ἀναμείνη
Ἐκεῖσε εἰς τὸ κοντάτο του ἐκεῖνο τῆς Τζαμπάνιας·
Καὶ ὁ δεύτερος ἀπὸ τοὺς δυὸ, μισὺρ Γουλιάμος ἄκω,
Εἶχε καὶ τὸ ἐπίκλην ὁ λόγου του, τὸν ἐλέγαν ντὲ Σαλούθε
Νὰ εὕρη φουσάτα ὡς ἠμπορεῖ, νὰ πάρη μετ' ἐκεῖνον,
50 Νὰ ἔλθη καὶ ἐκεῖνος εἰς Ῥωμανίαν, τοῦ νὰ ἔχη κουγκεστήσει
Κάστρη καὶ χώρας τίποτε, νὰ τὰ ἔχη γονικά τους·
Ὁ κόντος γὰρ τοῦ ἐξέδωκεν ὅσον λογάριν εἶχε.
Καὶ εἶπεν του· « Ἀδελφούτζικε, ἀφῶν ἐγὼ ἐνεμένω
[« Αὐθέντης εἰς τὰ κάστρη μας καὶ εἰς τὸ ἡγονικόν μας],
55 « Ἔπαρε τὸ λογάρι μας καὶ τὰ κοινά μας ὅλα
« Καὶ ἄμε μὲ τὴν εὐχήντζα μου ὁμοίως καὶ τοῦ πατρός μας.
« Καὶ ἐλπίζω εἰς ἔλεος τοῦ Θεοῦ, ὅτι νὰ εὐτυχήσης. »

[1] Au lieu de ces deux vers, on lit dans le ms. de Paris:

Ἦτον ὁ ὑστερώτερος καλὸς καὶ ἐπιδέξιος,
Καὶ φρόνιμος ἦτον πολλὰ ὑπὲρ τὸν ἀδελφόν του.

Εἰς τοῦτο ἐπεριεσώρευσεν καὶ ἐρόγευσεν φουσάτα·
Εἰς τὴν Μπουργουνίαν ἔστειλεν, ἦλθαν πολλοὶ μετ' αὔτον·
60 [Οἱ μὲν τὴν ῥόγαν ἐπέρναν καὶ ἐρχόντησαν μετ' αὔτον
Ἄλλοι τινὲς ὁποῦ ἤσασιν καὶ ἐκεῖνοι φλαμπουριάροι'[1]]
Ὁποῦ ἦσαν πλούσιοι ἄνθρωποι, ἦλθασι μετ' ἐκεῖνον,
Ὁ καθεεὶς διὰ λόγουτου τοῦ νὰ ἔχῃ κουγκεστήσει·
Σ' τὴν Βενετιὰν ἀπόστειλεν, τὰ πλευτικὰ νὰ ὡρμῆσαν·
65 Καὶ εὐθέως τὰ οἰκονόμησαν ὅσα ἤθελαν καὶ ἐχρήζαν.
Τὸν Μάρτιον ἦλθασιν καὶ ἀπέρασαν ἀπ' ἐκεῖ.
Καὶ εἰς τὸν Μωραΐαν ἐφθάσασιν εἰς τοῦ μαΐου τὴν πρώτην·
Ἐκεῖσε ἀπεσκάλωσαν, στὴν Ἀχαΐαν τὸ λέγουν,
Ποῦ ἔν' ἐδῶθεν τῆς Πατροῦ κὰν δεκαπέντε μίλια.
70 Εὐθέως καστέλην ἔκτησαν ὅλον μὲ τὰ πλιθάρια·
Ἐντότε γὰρ ὁποῦ λαλῶ, καὶ εἰς τὸν καιρὸν ἐκεῖνον
Ὁ τόπος ὅλος τοῦ Μοραιῶς, ὅσον καὶ περιέχει,
[Τὸ λέγουν Πελοπόννεσον, οὕτως τὸν ὀνομάζουν]
Οὐδὲν εἶχε καταπαντοῦ μόνον δώδεκα κάστρη.
75 Λοιπὸν ἀφοῦ ἐπέζευσαν ἐκεῖ εἰς τὴν Ἀχαΐαν,
Ἐξέβησαν τὰ ἄλογα ἀπ' ἔσω ἐκ τὰ καράβια,
Καὶ δύο ἡμέραις ἐνέμειναν ἕως οὗ νὰ τὰ ἀναπαύσουν.
Ἐνταῦθα ἐκαβαλλίκευσαν, ἀπῆλθαν εἰς τὴν Πάτρον·
Τὸ κάστρον ἐτριγύρισαν, ὡσαύτως καὶ τὴν χώραν·
80 Τὰ τριμπουτζέτα ἐστήσασιν γύρον καταπαντόθεν·
Τοὺς τζαγρατόρους ἔβαλαν, τὸν πόλεμον ἀρχίσαν·
Καὶ ἀπὸ τοῦ πλήθους τοῦ λαοῦ καὶ θαρσευοῦ πολέμου
Ἀπὸ τὸ πρῶτον ἐσέβησαν στὴν χώραν τὴν ἀπέξω.
Ἀφοῦ τὴν χώραν ἀπήρασιν, ἐκεῖνοι γὰρ τοῦ κάστρου

[1] Au lieu de ces deux vers, on lit dans le ms. de Paris:
Οἱ μὲν τὴν ῥόγαν ἔπαιρναν, οἱ δ' ἄλλοι φλαμπουριάροι.

85 Καὶ εὐθέως ἐφυμβιβάσθησαν, τὸ κάστρον παραδῶκαν
Μὲ τὰς συνθήκας καὶ ἀφορμὴν νὰ ἔχουσιν τὰ δικά τους,
Ὁ κατὰ εἷς τὸ σπῆτί του ὁμοίως τὸ ἰδικόν του.
Καὶ ἀφοῦ τὴν Πάτραν πῆραση, ταῖς φύλαξες ἐβάλαν,
Τὸ κάστρον ἐφωτάρχησαν, εἶθ' οὕτως καὶ τὴν χώραν
90 Ἀπὸ λαὸν καὶ ἄρματα, ὡς πρέπει καὶ ἁρμόζει·
Καὶ ἀπ' αὐτοῦ ὀπίσω ἐστράφησαν ἐκεῖ εἰς τὴν Ἀχαΐαν.
Βουλὴν ἐπῆραν μὲ ἐκείνους τοὺς τοπιοτὰς Ῥωμαίους,
Ὁποῦ τοὺς τόπους ἄξευραν, τοῦ καθενὸς τὴν πρᾶξιν.
Καὶ εἶπαν καὶ συβούλευσάν τους, τὸ πῶς ἔν' ἡ Ἀνδραβίδα
95 Ἡ χώρα ἡ λαμπρότερη εἰς τὸν κάμπον τοῦ Μωραΐως·
Ὡς χώρα γὰρ ἀπολυτὴ κεῖτεται εἰς τὸν κάμπον·
Οὔτε πύργους, οὔτε τειχεὰ ἔχει καλῶς εἰς αὐτήν.
Ἐν τούτῳ ὡρμήσασιν ἐκεῖ, ὁλόρθα ὑπαγένουν.
Ἐξάπλωσαν τὰ φλάμπουρα τοῦ καθενὸς φουσάτου.
100 Καὶ ἀφοῦ ἐπλησιάσασιν ἐκεῖ εἰς τὴν Ἀνδραβίδα,
Καὶ ἐμάθασιν οἱ Ἀνδραβιδαῖοι ὅτι ἔρχονται οἱ Φράγκοι,
Ἐξέβησαν μὲ τοὺς σταυροὺς, ὁμοίως μὲ τὰς εἰκόνας,
Οἱ ἄρχοντες καὶ τὸ κοινὸν τῆς χώρας Ἀνδραβίδας·
Καὶ ἦλθαν, καὶ ἐπροσκύνησαν ἐκεῖνον τὸν Καμπανέστην.
105 Κ' ἐκεῖνος ὁ παμφρόνιμος καλὰ τοὺς ἀποδέκτη·
Ὤμωσεν καὶ ὑπεσχέθη τους νὰ μὴν τοὺς ἀδικήση,
Οὔτε ζημίαν νὰ βάλλουσιν ἀπὸ τὰ γαμικά τους,
Τιμὴν, δωρεαῖς νὰ ἔχωσιν, καὶ εὐεργεσιαῖς μεγάλαις·
Ὅλοι τὴν ὑπομώσασιν δοῦλαί του ν' ἀποθάνουν.
110 Καὶ ὅσον ἀπεκατέστησε τὴν χώραν Ἀνδραβίδας,
Βουλὴν ἐπῆρε μετ' αὐτοὺς τὸ ποῦ νὰ φουσατεύση,
Ἐν τούτῳ ἐδόθη ἡ βουλὴ νὰ ἀπέλθουν εἰς τὴν Κόρινθον,
Διατὸ ἔνι κάστρον φοβερὸν, τὸ κάλλιον τῆς Ῥωμανίας,
Καὶ ἔνι τὸ κεφάλαιον, ὅπερ γὰρ αὐθεντεύει

115 Ὅλην τὴν Πελοπόννησον, ὅσον κρατεῖ ὁ Μωραΐας.
Ἐπειδὴ ἂν προστάξῃ ὁ Θεὸς καὶ προσκυνήσῃ ἡ Κόρινθος,
Ὅλα τὰ κάστρη τὰ ἕτερα τοῦ τόπου τοῦ Μοραΐως
Ἄνευ σπαθὶ καὶ πόλεμον θέλουσι προσκυνήσει.
Καὶ ἀφότου ἐδόθη ἡ βουλὴ, ἐκείνη ὁποῦ σὲ λέγω,
120 Ὥρθωσεν , καὶ ἄφηκε λαὸν ἐκεῖ εἰς τὴν Ἀνδραβίδα,
Καὶ ἄλλον εἰς τὴν Ἀχαΐαν, καὶ τρίτον εἰς τὴν Πάτραν,
Καὶ ὥρισε τὰ πλευτικὰ νὰ ὑπάγουν τῆς θαλάσσης,
Κ' ἐκεῖνος μὲ τὸν ἕτερον λαὸν γὰρ τοῦ φουσάτου
Ἐκ τὴν Βοστίτζαν ἔδραμεν καὶ διάβη εἰς τὴν Κόρινθον.
125 [Καὶ ἀφότου ἀπεσώσασιν ἐκεῖσε εἰς τὴν χώραν]
Τὸ γύρον τένταις ἔστησαν, ἐπιάσαν ταῖς κατούναις.
Τὸ κάστρον γὰρ τῆς Κόρινθος κεῖται ἀπάνω εἰς ὄρος.
Βουνὶν ὑπάρχει θεόκτιστον· καὶ ποῖος νὰ τὸ ἐγκωμιάσῃ;
Ἡ χώρα γὰρ εὑρίσκεται κάτωθεν εἰς τὸν κάμπον,
130 Μὲ πύργους τε καὶ μὲ τειχεὰ καλὰ περικλεισμένη.
Λοιπὸν εὑρίσκετον ἐκεῖ, τότε ὁποῦ σὲ γράφω,
Ὁ κάποιος μέγας ἄνθρωπος καὶ φοβερὸς στρατιώτης·
[Καὶ εἶχεν τὴν Κόρινθον ἀλλαδὴ τὸ Ἄργος καὶ Ἀνάπλη·
Ὡς κεφαλὴ καὶ φυσικὸς αὐθέντης τὰ ὑποκράτει
135 Ἐκ μέρους γὰρ τοῦ βασιλέως ἐκείνου τῶν Ῥωμαίων]
Σγοῦρον τὸν ὠνομάζασιν, οὕτως εἶχε τὸ ἐπίκλην·
Καὶ ὡς ἐπληροφορήθηκεν, ὅτ' ἔρχονται οἱ Φράγκοι,
Ἀπὸ τὴν χώρα ἐξήβαλε γυναῖκες καὶ παιδία,
Ὡσαύτως καὶ τὸν λοίπον λαὸν ὁποῦ ἄρματα οὐ βαστοῦσαν,
140 Καὶ ἀπάνω τοὺς ἀνέβασε στὸ κάστρον τῆς Κορίνθου.
Ἐκεῖνος δὲ ἐνέμεινεν ἐκεῖσε εἰς τὴν χώραν
Μὲ ὅσοι ἐβαστοῦσαν ἄρματα διὰ νὰ τὴν διαυθεντεύσῃ.
Ἀφότου γὰρ ἀπέσωσεν ἐκεῖσε ὁ Καμπανέσης,

Ὡσὰν σὲ τὸ ἀφηγήσωμαι εἰς τῆς Κορίνθου τὴν χώραν[1],
145 Καὶ ἔλαβε τὰ φουσάτα του, καὶ περιεγύρισέ την,
Ἀφῆκεν, ἀναπαύθησαν ἐκείνην τὴν ἡμέραν·
Ἐπὶ τῆς αὐρίου γὰρ τὸ πρωΐ, ὡς ἂν ἐξημερῶσεν
Ἔδωκαν τὰ σαλπίγγια τους, τὸν πόλεμον ἀρχίσαν·
Τὰ τριμπουτζέτα ἐσύρνασιν γύρωθεν εἰς τοὺς τοίχους·
150 Καὶ ἡ τζάγραις οὐκ ἀφίνασιν ἄνθρωπον νὰ προκύψῃ
Ἔξω ἐκ τὰ δόντια τοῦ τειχείου νὰ ἰδοῦν τὸ ποῖος τοξεύει.
Ταῖς σκάλαις, ὁποῦ εἴχασιν, ἔστησαν εἰς τοὺς τοίχους,
Καὶ εὐθέως ἀπέσω ἐσέβησαν, ἐπιάσασιν τὴν χώραν.
Ὅσοι ἐπαραδόθησαν, ἐλεημοσύνην κῦραν·
155 Οἱ δὲ ὅπου ἐσταθῆκαν εἰς πόλεμον, ἀπὸ σπαθίου ἀποθάναν.
Ὁ Σγοῦρος γὰρ ὡς φρόνιμος καὶ βέβηλος ὁποῦ ἦτον
Ἔφυγε, καὶ ἀνέβηκεν ἐκεῖ ἀπάνω εἰς τὸ κάστρον.
Καὶ ἀφότου οἱ Φράγκοι ἐπιάσασιν τὴν χώραν Κορίνθου,
Ὁ Καμπανέσης ὥρισε, διαλαλημὸν ἐποιῆσαν,
160 Ὅτι ὅσοι ἐκ τὰ περίγυρα τῶν χώρων τῆς Κορίνθου
Θέλουν νὰ προσκυνήσουσι, νὰ τὸν δεχθοῦν δι' αὐθέντην,
Νὰ ἔχουν τιμὴν καὶ ἀναδοχὴν καὶ εὐεργεσιὰν μεγάλην·
Οἱ δὲ πιασθοῦν εἰς πόλεμον, ἐλεημοσύνην οὐμὴ εὕρουν.
Ἀκούσον ταῦτα οἱ ἄρχοντες καὶ τὸ κοινὸν ὁμοίως
165 Ἄρχισαν νὰ ἔρχωνται, μικροί τε καὶ μεγάλοι,
Ἀπὸ τὸ μέρος Δαμαλᾶ καὶ μέχρι εἰς τὸ Ἅγιον Ὄρος·
[Ὅσοι τὸ ἀκούσαν ἤλθασιν μὲ προθυμίαν μεγάλην]
Τοῦ Καμπανέση ὠμώσασιν δοῦλοί του ν' ἀποθάνουν·
Κ' ἐκεῖνος τοὺς ἐδέχετο μετὰ περιχαρείας.
170 Κατὰ παντόθεν ἐπλάτυνεν ἐτότε τὸ μαντάτον,

[1] Au lieu de ce vers, on lit dans le ms. de Paris:
Καθὼς τὸ ἀφηγήθηκα, εἰς χώραν τῆς Κορίνθου.

Τὸ πῶς οἱ Φράγκοι ἐπήρασι τὸ κάστρον[1] τῆς Κορίνθου
Καὶ ἔχουν αὐθέντην ἐξάκουσταν τὸν λέγουν Καμπανέστην.
Τὸν χρόνον ἐκεῖνον καὶ καιρὸν ὁποῦ ἦλθε ὁ Καμπανέστης,
Καὶ ἐπέζευσε στὴν Ἀχαΐαν, καθὼς σὲ τὸ ἐπροεῖπα,
175 (Ἀ τοῦ βιβλίου τὸν πρόλογον, φαίνει με, σὲ τὸ γράφω,
Τὸ πῶς γὰρ μὲ τοῦ πιασμοῦ τῆς Κωνσταντινουπόλης
Χρόνον ἕνα καὶ μοναχὸν ἦλθεν ὁ Καμπανέστης,
Νὰ κουγκεστήσῃ τὸν Μοραΐαν, ὡσὰν τὸ ἀφηγοῦμαι)
Λοιπὸν καθὼς ἐπλάτυνεν καὶ ἀκούσθη τὸ μαντάτον,
180 Εὑρέθηκεν εἰς τὴν Βλαχιὰν ἐκεῖνος ὁ Μπομιφάτζος,
Ὁ ῥήγας τοῦ Σαλονικίου μὲ τὰ φουσάτα ὁποῦ εἶχεν·
Ὁμοίως εὑρέθη μετ' αὐτὸν ὁ ἐπαινετὸς ἐκεῖνος,
Τὸν ἔλεγαν μισὺρ Ντζεφρέ, Βιλαρτουοῦν τὰ ἐπίκλην·
Ἐν τούτῳ ἐσυμβιβάσθησαν, τὸ σκούσει τὸ μαντάτον,
185 Ν' ἀπέλθουν εἰς τὴν Κόρινθον, νὰ ἰδοῦν τὸν Καμπανέστην.
Καθὼς τὸ ἀπήρασιν βουλὴν, οὕτως καὶ τὸ ἐπληρώσαν,
Καὶ ἦλθαν εἰς τὴν Κόρινθον, εὗραν τὸν Καμπανέστην:
Χαρὰν μεγάλην ἔπηκαν, ὅταν ἐκεῖσε ἐσμίξαν,
Διατὶ πολλὰ ἐπεθύμησαν νὰ ἑνωθοῦν ἀλλήλως.
190 Ἐνταῦθα ἐπήρασι βουλὴν ν' ἀπελθοῦν εἰς τὸ Ἄργος.
Ἐπῆραν τὰ φουσάτα τους, καὶ ἐδιάβησαν ἐκεῖθεν.
Τὸ κάστρον κείτεται εἰς βουνὶν, πολλὰ ἔν ἀφηρημένον·
Ἡν δὲ τοῦ Ἄργους τῆς πόλεως ἡ χώρα ἡ μεγάλη,
Μέσα εἰς κάμπον κείτεται, ὡς τέντα ἀπλωμένη.
195 Τότε ἐδώκαν πόλεμον, καὶ ἐσέβησαν ἀπέσω.
Ὁ Σγοῦρος γὰρ ὁ ἐπαινετὸς, ἐκεῖνος ὁ στρατιώτης,
Ὁποῦ εἰς τὸ κάστρον εὑρίσκετον ἐκεῖνα τῆς Κορίνθου,

[1] C'est une faute; il faut τὴν χώραν, comme le donne le ms. de Paris.

Τὸ ἰδεῖ τὸ πῶς ἐμίσευσαν τὰ φράγκικα φουσάτα,
Τὴν νύκτα ἐκατέβηκεν, καὶ ἐσέβη εἰς τὴν χώραν
Μ' ὅσον λαὸν ἠμπόρεσε νὰ πάρῃ μετ' ἐκεῖνον.
Ζημιὰν μεγάλην ἔπηκε, φονοκοπιὰν στοὺς Φράγκους,
Ὁποῦ στὴν χώραν εὑρέθησαν πόλλ' ἀποθαρμένοι.
Καὶ ὅσοι γὰρ εὑρέθησαν ὑγεῖοι εἰς τὰ κορμιά τους,
Καὶ ἔφθασαν, καὶ ἁρματώθησαν, πόλεμον τοὺς ἐδώκαν·
Οἱ δὲ ὁποῦ ἦσαν ἀσθενεῖς, καὶ ἐκρέτονταν εἰς κάλαν,
Ὅλους ἐσφάξασιν εὐθέως, οὐδένα ἐλεήσαν·
Τὴν νύκτα ἐκείνην παρευθὺς ἔσωσέ τὸ μαντάτον,
Στὸν Καμπανέσην, σὲ λαλῶ, ἐκεῖ ὁποῦ ἦτον εἰς τὸ Ἄργος.
Πολλὰ τὸ ἐθλίβη λυπηρὰ διὰ τοὺς ἀρρωστημένους,
Ὁποῦ τοὺς ἐκατέσφαξαν ἀπέσω εἰς τὰ κρεβατίᾳ·
Τὴν χώραν τοῦ Ἄργου ἄφηκε καλὰ σωταρχισμένην·
Καλοὶ στρατιώταις ἐνέμειναν διὰ νὰ τήνε φυλάττουν,
Κ' ἐκεῖνος στρέμμα ἔπηκεν ἐκεῖθεν εἰς τὴν Κορίνθον,
Καὶ ἀποῦ ἐστράφηκεν ἐκεῖ, ἄρχησε μὲ τὸν ῥήγαν,
Ἐκεῖνον τοῦ Σαλονικιοῦ τὸν μισὸν Μπονιφάτζον·
Ἡμέρας γὰρ κὰν ἕξη ἀκτὼ ἐνέμειναν ἐκεῖσε.
Ὁ ῥήγας τότε ἐζήτησεν ἀπολογιὰν νὰ πάρῃ.
Ἐνταῦθα τοῦ τὰ ἐζήτησεν ὁ Καμπανέσης χάριν,
Βοήθειαν καὶ πρόβλεψιν νὰ ποιήσει εἰς ἐκεῖνον,
Νὰ τοῦ βοηθήσῃ τίποτε ἀπὸ τὴν βασιλείαν του.
Καὶ ἐκεῖνος γάρ, ὡς εὐγενὴς καὶ ῥήγας ἀποῦ ἦτον,
Τοῦ ἔδωκε καὶ ἐχάρισεν τῆς Ἀθηνοῦ τὸ ὁμάτζιο·
Μέγαν κύριν τὸν ἔλεγαν, οὕτως τὸν ὠνομάζαν
Ἐκεῖνον ὁποῦ αὐθέντευεν ἐτότε τὴν Ἀθήναν·
Ἐκ τῶν Ἑλλήνων τὸ εἴχασι τὸ ὄνομα γὰρ ἐκεῖνο.
Ὡσαύτως γὰρ τοῦ ἔδωκε τὰ τρία ὁμάτζια τοῦ Ἐλρίπου,
Τῆς Ποντικίτζας ἐλαδὶ τὸ ἐκράτησεν ὁ μαρκίζης,

Νὰ τὰ κρατοῦσιν ἀπ' αὐτὸν, καὶ αὐθέντην νὰ τὸν ἔχουν.
Ὁ αὐθέντης δὲ τῆς Ἀθηνοῦ ἐκ τὴν Μπουργουνιὰν ἦτον·
Οἱ δὲ τοῦ Εὐρίπου, ὁποῦ λαλῶ, τρεῖς αὐθέντες ἐκεῖνοι;
Ἐκ τὴν Βερόναν ἤσασιν ἀπὸ τὴν Λουμπαρδίαν.
Ὥρισεν ὁ ῥήγας καὶ ἐγράψάν τους νὰ ἔλθουσιν πρὸς ἐκεῖνον.
Ἀφοῦ γὰρ ἤλθασιν ἐκεῖ ποῦ ἦτον ὁ Καμπανέσης,
Ἀτός του ἐπαράδωκεν νὰ τὸν ἔχουν αὐθέντην·
Ἀπαῦτο ἀποχαιρέτησεν, καὶ ἐδιάβη εἰς τὴν ὁδόν του.
Ἐκεῖνος ὁ μισὺρ Ντζεφρὲς ὁποῦ ἦλθε μετ' ἐκεῖνον
Τὸν ῥήγαν τοῦ Σαλονίκιου, ὡς ἦλθε νὰ μισεύσῃ,
Εἶπε οὕτως πρὸς αὐτὸν καὶ ἐπαρακάλεσέ τον,
Νὰ ἔχῃ συμπάθιον ἀπ' αὐτὸν, καὶ ἐκεῖσε νὰ ἐνεμείνῃ
Μ' ἐκεῖνον τὸν αὐθέντην του, τὸν εἶχε φυσικόν του,
Τὸν Καμπανέσην σὲ λαλῶ, ὁποῦ πολλὰ ἐπεθύμα.
[Νὰ τὸν ἰδῇ καὶ ἑνωθῇ καὶ μείνῃ μετ' ἐκεῖνον.]
Ἀφότου γὰρ ἐμίσευσεν τῆς Σαλονίκης ὁ ῥήγας,
Ἐνέμειν' ὁ μισὺρ Τζεφρὲς ὡς φρόνιμος ὁποῦ ἦτον·
Τοὺς ἄρχοντας ἐρώτησε, τοὺς τοπικοὺς Ῥωμαίους,
Ὁποῦ τοὺς τόπους ἤξευραν, τὰ κάστρη καὶ ταῖς χώραις,
Ὅλης τῆς Πελοπόννησος, ὅσον κρατεῖ ὁ Μωραΐας,
Τοῦ νὰ τοῦ διερμηνεύσουσι τοῦ καθενὸς τὴν πρᾶξιν.
Καὶ ὅσον ἐρώτησε καλὰ, καὶ ἐπληροφόρεσάν το,
Τὸν Καμπανέσην ἔκραξεν, καὶ λέγει πρὸς ἐκεῖνον·
« Αὐθέντη, ἐγὼ ὡς ξενωτικὸς ἄνθρωπος δὲ τοῦ τόπου,
« Ἐρώτησα τοὺς ἄρχοντας ὁποῦ 'ναι μετὰ σένα·
« Καὶ ὡς ἐπληροφορήθηκα ἀπ' αὔτους τὴν ἀλήθειαν,
« Καὶ εἶδα μὲ τὰ ὀμμάτια μου τὸ κάστρον τῆς Κορίνθου,
« Τοῦ Ἄργου καὶ τοῦ Ἀναπλιοῦ, τὴν δύναμιν ὁποῦ ἔχουν,
« Ἂν θέλῃς νὰ καθέζεσαι, νὰ τὰ παρακαθέζῃς,
« Ἔχασες τὰ ἐπεχείρησες, ἀπεργωμένος εἶσαι.

« Διὰ τὸ εἶναι τὰ κάστρη δυνατὰ, καλὰ σωταρχισμένα,
« Καὶ οὐδὲν τὰ δύνεσαι ποσῶς μὲ πόλεμον ἐπάρῃ.
260 « Ἀλλὰ ὡς ἐπληροφορέθηκα ἀπὸ καλοὺς ἀνθρώπους.
« Ἀπὸ τὴν Πάτραν καὶ ἔμπροσθεν μέχρις εἰς τὴν Κορώνην
« Ἡ χώραις ἓν' ἁπλώτεραις, κάμποι δὲ καὶ δρυμῶνες,
« Ν' ἀπέρχεσαι ἐλεύθερα μὲ ὅλα σου τὰ φουσάτα.
« Καὶ ἀφοῦ κερδίσεις τὰ χωριὰ, καὶ νὰ σὲ προσκυνήσουν,
265 « Τὰ κάστρη ἐὰν ἐνμείνουσιν ἕως πότε νὰ βαστάζουν;
« Ὥρισε γὰρ τὰ πλεντικὰ νὰ ὑπάγουν τῆς θαλάσσης,
« Καὶ ἐμεῖς ἂς ὑπαγένωμεν ὅλοι ἀπὸ τῆς στερέας·
« Καὶ ἀφοῦ σώσωμεν ἐκεῖ, ὅπου ἔχεις τὸν λαόν σου,
« [Τὸν τόπον ὁποῦ ἐκέρδισες, ἐλπίζω εἰς τὸ ἐριζικόν σου]
270 « Καὶ εἰς τοῦ Θεοῦ τὸ ἔλεος τοῦ νὰ ἔχῃς διαφορήσῃ. »
Τὸ ἀκοῦσον ταῦτα ὁ εὐγενικὸς ἐκεῖνος ὁ Καμπανέσης,
Μεγάλως εὐχαρίστησε τὸν πρωτοστράτορά του.
Ὥρισε καὶ ἐσωτάρχησαν τὴν χώραν τῆς Κορίνθου·
Φουσάτα ἄφηκε καλὰ, τὸν τόπον νὰ φυλάττουν.
275 Καὶ ὡς τὸ εἶπεν ὁ μισὺρ Ντζεφρὲς, καὶ ἐκαθοδήγευσέ το,
Οὕτως καὶ τὸ ἐπληρώθηκεν καὶ εἰς τὸν Μωραίαν ἀπῆλθαν,
Ἀπὸ τὴν Πάτραν ἤλθασι, στὴν Ἀνδραβίδα σῶσαν,
Ἐκεῖ ὁποῦ ἦσαν οἱ ἄρχοντες τοῦ κάμπου τοῦ Μοραίως.
Ἐτότε ὁ μισὺρ Ντζεφρὲς, ὡς φρόνιμος ὁποῦ ἦτον,
280 Ἐσώρευσεν τοὺς ἄρχοντας, καὶ λέγει πρὸς ἐκείνους·
« Ἄρχοντες, φίλοι, καὶ ἀδελφοὶ καλοί καὶ μου συντρόφοι,
« Ἐσεῖς θεωρεῖτε, ἐβλέπετε τὸν αὐθέντην ἐτοῦτον,
« Ὁποῦ ἦλθεν ἐδῶ εἰς τοὺς τόπους σας, ὅπερ νὰ τοὺς κερδίσῃ·
« Μηδὲν σκοπήσετε, ἄρχοντες, ὅτι διὰ κοῦρσον ἦλθε,
285 « Νὰ ἐπάρῃ ῥοῦχα καὶ ζῶα καὶ νὰ μισέψῃ ἀπ' ἐδῶ.
« Ὡς φρόνιμους ὁποῦ σᾶς θεωρῶ, πληροφορίαν σᾶς λέγω.
« Θεωρεῖτε τὰ φουσάτα του, τὴν παῤῥησιὰν ὁποῦ ἔχει·

« Αὐθέντης εἶναι, βασιλεῦς, καὶ ἦλθεν νὰ κερδίσῃ.
« Ἐσεῖς αὐθέντην οὐκ ἔχετε τοῦ νὰ σᾶς συμμαχήσῃ.
290 « Καὶ ἂν θράμωσιν τὰ φουσάτα μας, τὸν τόπον σας κουρσεύσει,
« Νὰ αἰχμαλωτίσουν τὰ χωριὰ, καὶ νὰ σφαγοῦν οἱ ἄνθρῶποι·
« Ὕστερον τί νὰ ποιήσετε; ὅταν σᾶς μετανοήσῃ;
« Λοιπὸν ἐμένα φαίνεται διὰ καλιώτερόν σας
« Νὰ ποιήσωμεν συμβίβασιν, νὰ λείψουν καὶ οἱ φόνοι,
295 « Τὰ κούρσή καὶ ἡ αἰχμαλωσίαις ἀπὸ τὰ ἡγονικά σας·
« Καὶ σεῖς ὅπου εἴσθε φρόνιμοι; κ' ἠξεύρετε τοὺς ἄλλους,
« Συγγενεῖς ὁποῦ εἶναι, λέγω; φίλοι σας καὶ σύντροφοι,
« Πρᾶξιν νὰ ποιήσετε εἰς αὐτοὺς, τοῦ νὰ ἔχουν προσκύνήσῃ. »
Ὡς τ' ἤκουσαν οἱ ἄρχοντες, ὅλοι τὸν προσκυνήσαν·
300 Ἀπὸ ἔστειλαν καταπάντοῦ τοὺς ἀποκρισαρίους τους,
Ἔνθα ἠξεύραν, ὅτ' ἤσασι φίλοι καὶ συγγενεῖς τους·
Τὸ πρᾶγμα τοὺς ἐδήλωσαν; καὶ ἐπληροφόρησαν τοὺς·
Ἀφροντισιὰν τοὺς ἔστειλαν ἀπὸ τὸν Καμπανέσην,
Ὅσοι βούλονται ἀπελθεῖν τοῦ νὰ ἔχουν προσκυνήσει,
305 Τὰ ἡγονικά τους νὰ ἔχουσιν, καὶ ἄλλα πλεῖον νὰ τοὺς δώσῃ·
Ὅσοι ἀξιάξουν καὶ ὠφελοῦν; τιμὴν μεγάλην νὰ ἔχουν.
Ὡς τ' ἤκουσαν οἱ ἄρχοντες καὶ τὸ κοινὸν ὁμοίως,
Ἄρχισαν καὶ ἐρχόντησαν; καὶ ἐπροσκυνοῦσαν ὅλοι.
Καὶ ἀφότου ἐσωρεύθησαν ἐκεῖ στὴν Ἀνδραβίδα,
310 Τ' ἀρχοντολόγι τοῦ Μωραιὼς καὶ ὅλης τῆς Μεσαρέας,
Ἐπήκασιν συμβίβασιν μετὰ τὸν Καμπανέσην·
Ὅτι ὅλα τὰ ἀρχοντόπουλα; ὁποῦ εἴχασι προνοίαις,
Νὰ ἔχουσιν ὁ καθεεὶς πρὸς τὴν οὐσιὰν ὁποῦ εἶχε
Τὴν ἀνθρωπαιὰν καὶ τὴν στρατιὰν τόσον νὰ τοῦ ἐνεμένῃ·
315 Καὶ τ' ἄλλο τὸ περισσότερον νὰ μερίζουν οἱ Φράγκοι·
Καὶ οἱ χωριάταις τῶν χωριῶν νὰ στέκουν ὡς ἂν τοὺς ἤθραν.
Ἄρχοντες ἓξ ἐξήβαλαν καὶ ἄλλους ἑξὴ Φράγκους,

Ὅπερ νὰ ἐμοιράσαθι τοὺς τόπους καὶ προνοίαις.
Καὶ ὅσον ἀπεκατέστησεν ἐτοῦτο ὁποῦ σὲ λέγω,
Ἦλθεν ὁ πρωτοστράτορας μισὺρ Ντζεφρὲς ἐκεῖνος·
Εἰς τὴν βουλὴν ὁποῦ ἤσαθιν λέγει τοῦ Καμπανέθη·
« Αὐθέντη, πρέπει νὰ σκοπῆς καὶ νὰ ἔχῃς καταλάθει;
« Τὸ πῶς εὑρίσκεσαι μακρεὰ ἀπὸ τὰ ἡγουμενιά σου·
« Φουσάτα ἔχεις ἐδῶ πολλὰ τοῦ ἕν' εἰς ἔξοδόν σου·
« Τὰ πλευτικὰ κουστίζουσιν πλειότερον τῶν φουθάτων·
« Διὰ τοῦτο λέγω πρὸς ἐσέ, καὶ συμβουλεύω σέ το,
« Τοῦ νὰ μὴ χάνῃς τὸν καιρὸν καὶ τὸν λαὸν ὁποῦ ἔχεις.
« Ἐγὼ πληροφορήθηκα ἀπὸ τοὺς ἄρχοντάς σου·
« Ἐδῶ σιμὰ μας εὑρίσκεται τοῦ Πονδικοῦ τὸ κάστρον,
« Ὁποῦ ἔνι ἀπάνω εἰς τὸν αἰγιαλὸν· ἐκεῖ ἂς ἀπελθοῦμεν.
« Ἀπεῦτου ἔν' ἡ Ἀρκαδιά, εἶθ' ἀπέκει ἡ Κορῶνη·
« Καὶ ὀλίγον πρὸς ἐκεῖ ἔνι ἡ Καλαμάτα.
« Αὐτὰ τὰ κάστρα τὰ τέσσαρα ὁποῦ εἶπα καὶ ὀνομάζω
« Ποῦ ἔν' ἀπ' ἄνω εἰς τὸν αἰγιαλὸν καὶ λέγω τοῦτο, αὐθέντη,
« Ἕως ὀῦ ἔχομεν τὰ πλευτικά, ἂς ἀπελθοῦμεν ἐκεῖσε,
« Τὰ κάστρ' αὐτὰ νὰ πάρωμεν, ὁποῦ ἔχουν τοὺς λιμιόνας,
« Εἰς τὸ μέρος ὁποῦ βολεῖ καὶ μᾶς ἔνι ἐπιθέλιον. »
Ἤκουσαν τοῦτ' ὁ εὐγενικὸς ἐκεῖνος ὁ Καμπανέθης,
Καὶ ὅλοι ἄλλοι οἱ ἕτεροι οἱ πρῶτοι τῆς βουλῆς τοῦ,
Ἐπάνεσαν τὸν μισὺρ Ντζεφρὲ, τὸν λόγον του ἐστέρξαν.
Ὀρθοῦσαν τὰ φουθάτα τους, ὁμοίως καὶ τὰ πλευτικά τους·
Στὸν Πονδικὸν ἐσώσαθι, καὶ ἐπολέμησαν τὸν·
Τὸ κάστρον ἦτον ἀχαμνὸν, ἀπὸ σπαθιοῦ τὸ πῆραν·
Καὶ φύλαξιν ἐβάλασι καλὸν λαὸν ἀπέσω·
Καὶ ἀφότου ἐσωτάρχησαν τοῦ Πονδικοῦ τὸ κάστρον,
Τὰ πλευτικά του ἐκίνησαν, καὶ τῆς θάλασσου ὑπάγουν,
Ἐκεῖνοι γὰν ἐκ τὴν στερεὰν στὴν Ἀρκαδιὰν ἐσῶσαν,

[Ἤβραν τὸ πέλαγος κακὸν, οὐδὲν εἶχεν λιμιόναν]
Νὰ πιάσουσι τὰ πλευτικὰ, καὶ ἀνάπαυσιν νὰ ἔχουν.
350 Ἐνταῦθα ἐπήρασι βουλὴν τὸ κάστρον νὰ πολεμήσουν,
Ἐτότ' ἐκείνην τὴν φορὰν ὁποῦ ἤλθασιν ἐκεῖ·
[Ἀλλὰ ἕως οὗ ἔχουσιν τὰ πλευτικὰ, νὰ ἀπέλθουν εἰς τὰ κάστρα[1]]
Ὁποῦ ἔν ἀπάνω εἰς τὸν αἰγιαλὸν νὰ ἔχουσι λιμιῶνες.
Ὅμως τινὲς ἐκ τὸν λαὸν, ἀπὸ τὰ πεζικά τους,
355 Ἐδράξασιν μὲ πόλεμον, ἐσέβησαν εἰς τὸν μπούρκον·
Καὶ ὅσους ἐφθάσαν μὲ τὸ σπαθὶ, ἀπέθαναν εὐθέως·
Καὶ ὅσοι ἠμπόρεσαν καὶ ἔφυγαν, ἐσέβησαν στὸ κάστρον.
Ἐνταῦθα ὡρμώσασιν καὶ ὑπάγουν ὁλόρθα εἰς τὴν Μεθώνη[2].
Τὸ κάστρον ἤβραν ἔρημον, ὅλο ἦτον χαλασμένον,
360 Τὸ εἴχασιν χαλάσασει ὀμπρὸς οἱ Βενετίκοι,
Διατὸ ἐκρατοῦσαν οἱ Ρωμαῖοι ἐκεῖ τὰ πλευτικά τους,
Καὶ ἐμπόδιζαν καὶ ἐκούρσευαν τὰ ξύλα τῶν Βενετίκων.
Καὶ ἀπ' αὐτοῦ ἐκίνησαν, καὶ ὑπᾶν εἰς τὸ κάστρο τῆς Κορώνης.
Καὶ ηὗραν τὸ κάστρον ἀχαμνὸν ἀπὸ τείχεα καὶ πύργους.
365 Εἰς βράχον σπήλαιον ἐκείτετον, ἀφιρωμένον ἦτον.
Τὸ σώση δὲ τὰ πλευτικὰ, τὸν γύρον τὸν ἐγυρίσαν.
Οἱ καβαλλάροι καὶ πεζοὶ τὸν πόλεμον ἀρχίσαν·
Τὰ τριμπουτζέτα ἐστήσασιν, καὶ ἐκεῖ τοὺς ἐσυχνάσαν·
Ἀπάδειαν οὐκ εἴχασιν ποσῶς εἰς τείχεα νὰ στήκουν.
370 Ἐκεῖνοι γὰρ οἱ Κορωναῖοι, ὁποῦ ἦσαν εἰς τὸ κάστρον,
Τὸ ἰδεῖν τὸ πλῆθος τοῦ λαοῦ, τοῦ πολέμου τὸ θράσος,
Ἐλάλησαν καὶ ἐζήτησαν συμπάθειον νὰ τοὺς ποιήσουν,

[1] On lit dans le ms. de Paris:

Καιρὸν ἔχουν τὰ πλευτικὰ νὰ ἔλθουν εἰς τὸ κάστρον.

[2] On lit dans le ms. de Paris:

Εἰς τοῦτο πάλιν ὤρθωσαν νὰ ὑπᾶν εἰς τὴν Μοθόνην.

Τὸ κάστρον νὰ τοὺς δώσουσι, μόνον νὰ τοὺς ὀμώσουν
Νὰ ἔχουσι τὰ ὀσπήτιά τους, ὁμοίως τὰ γονικά τους.
375 Ὁ πρωτοστράτωρ τ' ἤκουσε μισὺρ Ντζεφρὲς ἐκεῖνος·
Εὐθέως τοὺς ὑπομώσατο· ὁ πόλεμος ἐπαύθη,
Οἱ Φράγκοι ἀπέσω ἐσέβησαν, τὸ κάστρον ἐπαραλάβαν·
Σωτάρχησιν ἐβάλασιν ἀπέσω καὶ τὸν λαόν τους.
Ἐπὶ τῆς αὐρίου ἐμίσευσαν, εἰς τὴν Καλομάταν ἦλθαν.
380 Τὸ κάστρον ἤβραν ἀχαμνὸν, ὡς μοναστῆρι τὸ εἶχαν·
Τοσῶσει τὸ ἐπολεμῆσαν ἀπὸ σπαθὶ τὸ ἐπῆραν.
Μὲ συμφωνίαις τὸ ἔδωκαν καὶ ἐκεῖνοι ὡσὰν καὶ οἱ ἄλλοι.
Ὡς τὸ ἐμάθαν γὰρ οἱ Ρωμαῖοι ἀπέσω ἀπὸ τὸ Νίκλι,
Ἐκεῖνοι τῆς Βελιγοστῆς καὶ Λακοδαιμονίας,
385 Ὅλοι ὁμοῦ ἐσωρεύθησαν, πεζοὶ καὶ καβαλλάροι·
Ἐκ τῶν ζυγῶν τῶν Μελιγῶν ἦλθαν τὰ πέζικά τους[1]·
[Ἦλθαν τοῦ Λάκκου[2] τὰ χωρία, εἰς τὸν Χρυσορέαν ἐσώσαν.
Ἀκούσασιν καὶ ἐμάθασιν πῶς ἦλθαν, οἱ Φράγκοι,
Καὶ περπατοῦν ἐκ τὰ χωρία, καὶ ἐπέρνουσιν τὰ κούρση,
390 Καὶ εἶπαν καὶ ἐλογίσαν το νὰ τοὺς ἔχουν ζημιώση[3].]
Ἐκεῖσε ἐπαρεσύρθησαν, τὸ λέγουν Καπησκιάνους,
Ὁποῦ τὸ κράζουν ὄνομα στὸν Κούντουρου ἐλαιῶνα.
Ἦσαν χιλιάδες τέσσαρες πεζοὶ καὶ καβαλλάροι.

[1] Tout ce passage fort important était incomplet et défiguré dans le ms. de Paris. Au lieu de πέζικα il se trouvait πλεύτικα, qui était une mauvaise leçon.

[2] Le Lacos est cette grande et belle vallée de Messénie qui s'étend au pied du Makry-Plagi dans la vallée de Calamata. Elle porte encore ce nom.

[3] Au lieu de ces quatre vers, on lit les deux suivants dans le ms. de Paris :

Ἦλθαν τοῦ Λάκου τὰ χωριὰ, ἐπέρνουσι τὰ κούρση·
Εἶπαν καὶ ἐβουλεύθησαν, πῶς νὰ τοὺς πολεμήσουν.

Οἱ Φράγκοι γὰρ ὡς τὰ ἐμάθασιν πάλαι ἀπὸ τοὺς Ῥωμαίους,
395 Ὁποῦ ἤσαν γὰρ μετ' αὐτοὺς, καὶ ἠξεύρασιν τοὺς τόπους,
Ἐκεῖ τοὺς ἐπαράσυραν, ἦλθαν καὶ ἠθράσέ τους,
Καὶ πόλεμον ἐδώκασιν οἱ Φράγκοι καὶ οἱ Ῥωμαῖοι.
Καὶ οἱ Φράγκοι γὰρ οὐκ ἤσασι, πεζοὶ καὶ καβαλλάροι,
Μόνον καὶ ἑπτακόσιοι μοναχοὶ, τόσους τοὺς ἐγνωμιάσαν.
400 [Μὲ προθυμίαν ἀρχήσασιν τὸν πόλεμον οἱ Ῥωμαῖοι,
Διατὶ ὀλίγους τοὺς ἔβλεπαν, ὕστερα ἐμετανοῆσαν[1]].
Τί νὰ σὲ λέγω τὰ πολλά; καὶ τί τὸ διάφορόν μου;
Τὸν πόλεμον ἐκέρδισαν τότε ἐκεῖν' οἱ Φράγκοι·
Ὅλους ἐκατασφάξασιν, ὀλίγοι τοὺς ἐφύγαν.
405 Αὐτὸν μόνον τὸν πόλεμον ἔπτικαν οἱ Ῥωμαῖοι
Εἰς τὸν καιρὸν ὁποῦ ἐκέρδισαν οἱ Φράγκοι τὸν Μωραΐαν.
Καὶ ἀφότου ἐκερδίασασι τὴν Καλομάταν οἱ Φράγκοι,
Καὶ εἶδαν τὸν τόπον ἔμμορστον, ἁπλὴν χαριτωμένον,
Τοὺς κάμπους γὰρ καὶ τὰ νερὰ, τὸ πλῆθος τῶν λιβάδων,
410 Ὁ Καμπανέστης ὥρισεν ὅλων τῶν πλεντικῶν του,
Ὁ καθεὶς ν' ἀπέρχεται ἐκεῖθεν, ὁποῦ ἦταν,
Διὰ τὸν πληροφόρησαν οἱ ἄρχοντες οἱ Ῥωμαῖοι,
Ὅτι οὐδὲν τὸν ἐκάμνασιν τίποτε χρεία ἀπ' ἄρτι.
Ὥρισεν γὰρ καὶ εὐγάλασιν ἀπέσω ἐκ τὰ καράβια
415 Σωτάρχιον, ἅρματα πολλὰ, ὁμοίως καὶ τζαγματόρους.
[Καὶ ὅσον ἐπαραδιάβασεν τὰ μέρη Καλομάτας
Καὶ ἀνάπαυσεν τὰ ἄλογα ὁμοίως καὶ τὸν λαόν του]

[1] Au lieu de ces deux vers, on lit les trois suivants dans le ms. de Paris :

Διὰ τοῦτο ἐσφάλαν οἱ Ῥωμαιοὶ, τὸν πόλεμον ἀρχίσαν·
Μὲ προθυμιὰν τοὺς ἄρχισαν, ὀλίγους τοὺς ἐβλέπαν.
Ὕστερον μετανόησαν, κακὸν πρᾶγμα ἐπῆκαν.

Βουλὴν ἐπῆρε, ποῦ νὰ ὑπᾷ καὶ ποῦ νὰ καβαλικεύσῃ.
Εἰς τοῦτο εἶπαν οἱ Ῥωμαῖοι, οἱ πρῶτοι τῆς βουλῆς του,
Νὰ ἀπέλθουν εἰς τὴν Βελιγοστάν, καὶ ἀπέκει εἰς τὸ Νίκλι,
Διατὸ εἶναι χώραις προεστὲς εἰς ὅλον τὸν Μωραΐαν·
Εἰς τὸν κάμπον κεῖτονται καὶ αἱ δύο· εὐθέως ταῖς θέλουν ἐπάρῃ·
Καὶ ἀπεύτου πάλιν νὰ ἀπέλθουν εἰς τὴν Λακεδαιμονίαν.
Καὶ τότε ὁ πρωτοστράτορας μισὺρ Ντζεφρὲς ἐκεῖνος
Εἶπε καὶ ἐσυμβούλευσαν εἰς τὴν Ἀρκαδίαν νὰ ἀπέλθουν,
Τὸ κάστρον γὰρ νὰ ἐπάρωσιν, ὁ τόπος νὰ πλατύνῃ,
Νὰ στείλουν καὶ εἰς τὸ Ἀρέκλαβον, ὁποῦ κρατεῖ τὸν δρόγγον,
Ὁποῦ τὸ λέγουν τὰ Σκορτά· μικρὸν καστέλλιν ἔν,
Ἀλλ' εἰς τραχόνιν κάθεται, πολλὰ ἔν ἀφιερωμένον.
Λέγουν ὁ κεφαλὸς τὸ κρατεῖ ἀπὸ τοὺς Βουτζαράβαις·
Δοξαπατρῶν τὸν λέγουσι· μέγας στρατιώτης ἔν·
« Καὶ ἀφὸν ἐπάρωμεν αὐτὸ, καὶ νὰ πλατύνῃ ὁ τόπος,
« Ἐνταῦθα ἂς ἀπερχώμεθα ἐκεῖ εἰς τοὺς ἄλλους τόπους[1]. »
Οὕτως ὡς τὸ ἐσυμβούλευσαν ὁ μισὺρ Ντζεφρὲς ἐκεῖνος,
Τὸ ἔστερξαν τοῦ νὰ γενῇ ἀτός του ὁ Καμπανέσης.
Ὥρισε καὶ ἐλαλήσασιν ὅλα τους τὰ σαλπίγγια,
Καὶ εὐθέως ἐκαβαλίκευσαν, ἐκίνησαν, καὶ ὑπάγουν·
Σ' τὴν Ἀρκαδίαν ἔσωσασιν ὥραν μεσημερίου·
Ἐπίασαν ταῖς κατοίκιαις τους, εἰς τὸν κάμπον ἐστήσαν·
Τὸ κάστρον ἐξηπάσασι, καὶ ἐκεῖνοι οὐδὲν τὸ ἔδοσαν·
Διατὶ τὸ κάστρον κεῖται ἀπάνω γὰρ εἰς τὸ σπηλαίον·
Εἶχαν καὶ πύργον δυνατὸν ἀπὸ γὰρ τῶν Ἑλλήνων·
Σωτάρχιον εἶχαν δυνατὸν, ἤλπιζαν νὰ βαστάξουν
Τὴν μάχην καὶ τὸν πόλεμον, νὰ μὴ παραδοθοῦσιν.

[1] On lit dans le ms. de Paris :

Εἰς τοῦτο θέλομεν ὑπᾷ καὶ εἰς τὰ ἄλλα κάστρη.

445 Ἡμέρα ἐκεῖν' ἐπέρασεν, ἡ ἄλλ' ἐξημερόνει.
Ὁ Καμπανέσης ὥρισε, τὰ τριμπουτζέτα ἐστῆσαν,
Καὶ ἄρχισαν νὰ πολεμοῦν ἐκεῖ ἀπάνω εἰς τὸ κάστρον.
Ἐκ τὸ ἕνα μέρος τ' ἔδερναν μετὰ τῶν τριμπουτζέτων,
Καὶ ἀπὸ τὴν μάχην καὶ ἔμπροσθεν ἦσαν οἱ τζαγρατόροι·
450 Καὶ ὡς εἴδασιν οἱ Ἀρκαδινοί, ὁποῦ ἦσαν εἰς τὸ κάστρον,
Τὸν πόλεμον τὸν δυνατὸν ὅτι οὐκ ἠμποροῦν βαστάζει,
Στριγγὴν φωνὴν ἐλάλησαν, ὁ πόλεμος νὰ παύσῃ·
Συμβίβασιν ἐποιήσασιν τὸ κάστρον νὰ παραδώσουν.
Καὶ εὐθέως ὁ πρωτοστράτορας μισὺρ Ντζεφρὲς ἐκεῖνος
455 Ὥρισεν τὸν ἀρχηγὸν τὸν πόλεμον νὰ παύσουν.
Οἱ Ἀρκαδινοὶ ἐζητήσασιν συμπάθειον νὰ τοὺς ποιήσῃ·
Ἀφροντησιὰν νὰ ἔχουσι μὲ τὰ ὑποστατικά τους·
Ὅρκος ἐγείνετον εὐθὺς, καὶ ἐδώκασι τὸ κάστρον.
Ἀφοῦ γὰρ ἐπαράλαβε τὸ κάστρον ὁ Καμπανέσης,
460 Οὐδὲν ἀργήσασιν ἐκεῖ, μόνον καὶ δύο ἡμέρας·
Καὶ οὕτως ἐσώσασιν ἐκεῖ ὁ κάποι ἀποκρισάροι·
Πιττάκια ἐβαστένασιν, ἐκ τὴν Φραγκίαν τὰ ἐφέρναν·
Τοῦ Καμπανέση τ' ἔδωκαν, καὶ ἐπροσκύνησάν τον.
Ἐκ στόματος τοὺς ἐρωτᾷ· « Λέγετε τὰ μαντάτα. »
465 Καὶ ἐκεῖνοι ὡς ἦσαν λυπηροὶ, μετὰ δακρύων τοῦ λέγουν·
« Αὐθέντη μας, ἐγνώρισε, ἀπέθανεν ὁ ἀδελφός σου,
« Ὁποῦ ἦτον πρῶτος ἀδελφὸς, ὁ κόντος τῆς Τζαμπάνιας.
« Οἱ ἄρχοντες τοῦ τόπου σου, ὅλοι οἱ φλαμπουριάροι,
« Ὡσαύτως ὅλον τὸ κοινὸν, ὁποῦ ἔνι ἡγονικόν σου,
470 « Παρακαλοῦν καὶ προσκυνοῦν, σύντομα ἐκεῖ νὰ ἀπέλθῃς·
« Οὐκ ἔχουσιν γὰρ φυσικὸν αὐθέντην μόνον ἐσένα.
« Αὐτὸς ὁ ῥήγας τῆς Φράγκιας, ὁποῦ κρατεῖς ἀπ' αὐτον,
« Πόλλ' ἀγαπᾷ, καὶ βιάζεται γοργὰ νὰ καταλάβῃς.
« Οἱ συγγενεῖς σου καὶ οἱ ἅπαντες εὐγενικοὶ τῆς Δύσεως

475 «Ὅλοι σὲ γράφουν, καὶ ζητοῦν, σύντομα ἐκεῖ νὰ ἀπέλθῃς.»
Ὡς τ' ἤκουσεν ὁ εὐγενικὸς ἐκεῖνος Καμπανέσης,
[Ὡς φρόνιμος νεούτζικος μεγάλως ἐλυπήθη,
Ἐκλάψεν εἰς σφόδρα σε λαλῶ, εἰς θλίψιν μεγάλην ἐπῆκεν]
Ὥρισε, καὶ ἐκράξασιν τοὺς πρώτους τοῦ φουσάτου,
480 Ἐκεῖνον τὸν μισὺρ Ντζεφρὲν, τὸν πρωτοσύμβουλόν του.
Καὶ ἐλάλησεν ὡς φρόνιμος, καὶ λέγει πρὸς ἐκείνους·
«Ἄρχοντες, φίλοι καὶ ἀδελφοί, συντρόφοι, στρατιώταις,
«Τὸν Θεὸν εὐγάνω μάρτυρα 'σ τὴν θλίψιν, ὁποῦ ἔχω,
«Διὰ τὴν θανὴν γὰρ ἐκείνου τοῦ αὐθέντη καὶ ἀδελφοῦ μου·
485 «Δεύτερον πάλιν θλίβομαι, ἔχω μεγάλην ἔννοιαν·
«Ἐτοῦτο ὁποῦ ἐκατάπιασα καὶ ἦλθα εἰς τὴν Ῥωμανίαν
«Νὰ λάβω δόξαν καὶ τιμὴν, καὶ τόπον νὰ κερδίσω·
«Καὶ ὅσον τὸ ἐκατάπιασα καὶ ἔτρεχα εἰς τὸ τέλος,
«Ἔχασα τὴν ἐλπίδα μου, καὶ ἐγκρημνοβολισά την·
490 «Καὶ ἦλθέ με τὸ ἐναντίον ἐνγὰρ δυσσοῖς τοῖς τρόποις.
«Ὅμως ὡς ἤκουσ' ἀπ' ἀρχῆς ἐκ τοὺς παλαιοὺς ἀνθρώπους,
«Καὶ λέγουν καὶ διατάσσουν μας (ὅσοι γὰρ δυστυχοῦμεν),
«Ὑπομονὴν νὰ ἔχωμεν, καὶ οὕτως νὰ διαφοροῦμεν·
«Διὰ τοῦτο λέγω πρὸς ἐσᾶς, ὅλους παρακαλῶ σας,
495 «Τοῦ νὰ μὲ συμβουλεύσετε, ὡς πρέπει καὶ τυχένη,
«Νὰ ποιήσω πρᾶγμα εὔπρεπον, νὰ πρέπει τῆς τιμῆς σας,
«Καὶ ἐσᾶς, ὁποῦ εἶστε μετ' ἐμὲ, νὰ μὴν κατηγορήσουν.»
Ἐνταῦθα ἐδόθη ἡ βουλὴ, καὶ ἐγείνετον ἐτοῦτο·
Νὰ ἔνι ὁ πρωτοστράτορας μισὺρ Ντζεφρὲς ἐκεῖνος,
500 Νὰ ἔχῃ μετ' αὐτοῦ δύο ἀρχιερεῖς καὶ δύο φλαμπουριάρους
Καὶ ἄλλους πέντε ἄρχοντας, τοὺς τόπους νὰ μερίσουν,
Νὰ δώσουσι τοῦ καθενὸς πρὸς τὴν οὐσιὰν ὁποῦ εἶχε,
Πρὸς τὸν λαὸν καὶ τ' ἅρματα, ὁποῦ εἶχε εἰς τὸ φουσάτο.
Ἐν τούτῳ ἐκάτζαν ἐννομοῦ ἐκεῖνοι οἱ δέκα μόνοι,

505 Καὶ ἐκατεγράψαν τὸν λαὸν, τοὺς πρώτους τοῦ φουσάτου.
Λοιπὸν ἀφότου ἐγράψασι τοὺς τόπους, καὶ ἐμερίσαν,
[Ἐκεῖνοι οἱ δέκα ὁποῦ λαλῶ ἠφέρασιν τὰ ἐγράφου.]
Τοῦ Καμπανέση τὰ ἔδωκαν, καὶ ἐπροσκόμισάν τα.
[Καὶ ἀφότου τὰ ἀναγνώσασιν καὶ ἐφανέρωσάν τα]
510 Ὅλοι τοὺς ἐπαινέσασι, ἀτός του ὁ Καμπανέσης.
Διότι γὰρ οὐκ ἔγραφε στὴν μέρισιάν ἐκείνην
Τέποτε διὰ τὸν μισὺρ Ντζεφρὲν τὸν πρωτοστράτοράν του,
Μεγάλως τὸ ἐθαυμάτηκεν, εἶπε, καὶ ἐπαίνεσέ τον
Ταῖς τάξες καὶ τὴν φρόνησιν, ταῖς χάριταις ὁποῦ εἶχεν.
515 Ἐν τούτῳ τὸν ἐλάλησεν μισὺρ Ντζεφρὲ, τὸν λέγει,
[Εἰς τὸ ἐμφανὲς τὸν ἔκραξεν καὶ φανερὰ τὸν εἶπεν.]
« Ἐγὼ ἠξεύρω εἰς πληροφορίαν, μὲ ἀλήθειαν σὲ τὸ λέγω,
« Ἐσὺ ἐπεχείρησες ἀρχὴν, καὶ τὴν βουλὴν ἐδῶκες,
« Ἐτότε ἐκεῖνον τὸν καιρὸν τοῦ αὐθέντου καὶ ἀδελφοῦ μου,
520 « Διὰ τὸ πασσάτζιο τῆς Συριᾶς, καὶ ἐτίθη καπετάνος.
« Καὶ ὡς ἦλθεν ἀπὸ ἁμαρτιὰς, καὶ ἀπέθανεν ὁ ἀδελφός μου,
« Οὐδὲν ὑπέμεινες ποσῶς νὰ μείνῃ τὸ πασσάτζιο,
« Καὶ ἀπῆλθετε 'ς τὴν Ῥωμανιὰν, καὶ ἐπῆρετε τὴν Πόλιν.
« Ὅλα γὰρ τὰ καμώματα καὶ ἡ πράξες, μεγάλαις τάξαις
525 « Ἐσὺ ταῖς ἐσυμβούλευσες, καὶ ἀποκατέστησές ταις.
« Καὶ ὡς ἔμαθες, ὅτ' ἦλθα ἐγὼ ἐδῶ εἰς τὸν Μωραΐαν,
« Τὴν μοῖραν ὁποῦ σ' ἔρχετον νὰ ἐπάρῃς τῆς κουγκέστας,
« Τὸν βασιλεὰ τὸν Βαλδουβῆν καὶ τοὺς συντρόφους ὅλους,
« Ὅλους τοὺς ἐλευθέρωσες, καὶ ἦλθες εἰς ἐμένα.
530 « Καὶ ἤθελεν εἶσθαι ἁμαρτιὰ, κατηγοριὰ μεγάλη[1],

[1] Ce vers est omis dans le manuscrit de la Bibliothèque royale de Copenhague, et je le rétablis d'après le manuscrit de la Bibliothèque royale de Paris.

« Ἐὰν οὐ σὲ εὐεργέτησα, ὡς πρέπει καὶ λαχένη.
« Ἐν τούτῳ θέλω, δίδω σε νὰ ἔχῃς διὰ γονικόν σου
« Τὴν Καλομάταν καὶ Ἀρκαδιὰν μὲ τὴν περιοχήν τους. »
Μὲ δακτυλίδιν γὰρ χρυσὸν εὐθέως τὸν βεβεστίζει.
Καὶ ἀφότου ἐρεβεστήθηκεν, κ' ἐπῆκέ του τὸ ὁμάντζιο,
Τότε τὸν ἐμετάκραξε, καὶ λέγει πρὸς ἐκεῖνον·
« Μισὺρ Ντζεφρὲ, ἀπὸ τοῦ νῦν ἄνθρωπος μου εἶσαι λίζιος,
« Ἀφῶν κρατεῖς τὸν τόπον σου ἀπὸ τὴν αὐθεντειὰν μου·
« Καὶ ἁρμόζει νὰ ἦσαι εἰς ἐμὲ ἀληθινὸς εἰς πάντα,
« Καὶ ἐγὼ πάλιν νὰ ἀποθαρρῶ τὰ πάντα μου εἰς ἐσένα.
« Λοιπὸν ἀφότου ὀφείλω ὑπάγει ἐκεῖσε εἰς τὴν Φραγκίαν,
« Παρακαλῶ καὶ ὁρίζω σε, διὰ τὴν ἐμὴν ἀγάπην,
« Τὸν τόπον ὁποῦ ἐκέρδισα ἐδῶ εἰς τὸν Μωραΐαν,
« Νὰ παραλάβῃς, καὶ κράτῃς τον, δι' ἐμένα τὸν φυλάττῃς
« Εἰς τέτοιον τρόπον καὶ ἀφορμὴν δικαίος μου νὰ ἦσαι μπαΐλος,
« Τοῦ νὰ κρατῇς τὴν αὐθεντειὰν ὥσπερ ἐγὼ ἀτός μου.
« Καὶ ἂν μοῦ φανῇ καὶ ἀρέσῃ μου νὰ στείλω ἄλλον δίκαιόν μου
« Ἐκ τοὺς ἐμῶν τοὺς συγγενεῖς ἀπέσω εἰς χρόνον ἕνα,
« Τὸν πόπον καὶ τὴν αὐθεντειὰν νὰ τοῦ τὴν παραδώσῃς,
« Καὶ ἐσὺ γὰρ νὰ κρατῇς τὸν τόπον σου ἀπ' ἐκεῖνον.
« Εἰ δὲ περάσει ὁ καιρὸς, τὸ τέρμενον τοῦ χρόνου,
« Καὶ οὐδὲν ἀπελθῇ ἐδῶ κανεῖς τὴν αὐθεντειὰν νὰ ἐπάρῃ,
« Θέλω γὰρ καὶ ὀρέγομαι, καὶ ἐδῶ τὸ στερεόνω,
« Νὰ μείνῃς κύριος ἀπ' ἐμοῦ αὐθέντης κληρονόμος. »
Ἐνταῦθα γὰρ καὶ ὁ μισὺρ Ντζεφρὲς, ὡς φρόνιμος ὁποῦ ἦτον,
Τὸν Καμπανέσην προσκυνᾷ, εἶπεν καὶ εὐχαριστᾷ τον
Διὰ τὴν τιμὴν καὶ ἔπαινον, ὅπερ τοῦ ἐμαρτύρᾳ,
Καὶ δεύτερον διὰ τὴν δωρεὰν ὁποῦ ἐπῆκεν εἰς αὐτον.
Τὸ γὰρ μπαλιάτζιο τοῦ Μωραιὼς, τὴν αὐθεντειὰν τοῦ τόπου
Αὐτὸς τὰ ἐπαράλαβεν, ὡς εἶπε ὁ Καμπανέσης.

Ὥρισεν ἐγράψαν τὰ χαρτία ταῖς συμφωνίαις ἐκείναις·
Μεθ' ὅρκου γὰρ τὰ ἐποίησαν, καὶ ἐνταῦθα τὰ ἐβουλλῶσαν
Οἱ φλαμπουριάροι καὶ ἀρχιερεῖς, οἱ πρῶτοι τοῦ φουσάτου.
Καὶ ὅσον ταῖς ἐκατέστησε ταῖς συμφωνιαῖς ἐκείναις,
565 Ὁ Καμπανέσης ὤρθωσεν, καὶ ἐμίσεψε, ἐδιάβη.
Οὐδὲν ἠθέλησε ποσῶς νὰ ἐπάρῃ μετ' αὐτον,
Μόνον καὶ δύο καβαλλαρίους καὶ δώδεκα συργένταις.
Μὲ κάτεργον ἐπέρασεν, ἀπῆλθεν τῆς Βενετίας,
Καὶ ἐδιάβη ὁλορθὰ εἰς τὴν Φραγκίαν ἐκεῖσε εἰς τὴν Τζαμπάνιαν,
570 Καὶ ἐνέμεινεν ὁ μισὺρ Ντζεφρὲς αὐθέντης εἰς τὸν τόπον.
Ἀφότου γὰρ ἐνέμεινε μισὺρ Ντζεφρὲς ἐκεῖνος
Μπαΐλος καὶ αὐθέντης τοῦ Μωραίως, καθὼς σὲ ἀφηγοῦμαι,
Σ' τὴν Ἀνδραβίδα ὥρισε νὰ σορευθῇ ὁ λαός του,
Ὁποῦ ἦτον τότε τὸ σκαμνὶ τῆς αὐθεντειᾶς ὁποῦ εἶχε·
580 Καὶ ὅσον ἐγεύ' ἡ ἕνωσις μικρῶν τε καὶ μεγάλων,
Εἶπεν καὶ ἠφέραν τὸ βιβλίον, ποῦ ἦτον ἡ μερησία
Ἐγγράφως γὰρ τοῦ καθενὸς, τὸ τί τὸν ἐπαραδῶκαν
Νὰ ἔχῃ καὶ νομεύεται παρὰ τοῦ Καμπανέση.
Ἐν τούτῳ εὑρέθησαν ἐκεῖ, ὁποῦ ἦσαν προνοιασμένοι.
585 Ὁ πρῶτος, ὁποῦ ἔγραφεν, ἦτον ὁ μισὺρ Γαρτιέρης,
Ντὲ Ῥοζήερες[1] τὸ ἐπίκλην του (οὕτως τὸν ὀνομάζουν)·
Εἶχεν εἰκοσιτέσσαρα καβαλλαριῶν τὰ φίε·
Σ' τὴν Μεσαρέαν τοῦ ἐδόθησαν· κάστρον ἐπῆκε ἐκεῖσε,
Καὶ ὠνόμασε τὴν Ἄκοβαν· οὕτως τὴν ὀνομάζουν.
590 Ἀπαύτου ἐδόθησαν ὁμοίως τοῦ μισὺρ Οὔγκου ἐκείνου,
Μπρίερες ἦτον τὸ ἐπίκλην του, εἰς τῶν Σκορτῶν τὸν δρόγγον·
Εἰκοσιδυὸ καβαλλαριῶν τὰ φίε τῶν ἐδῶκαν.
Τὸ παραλάβῃ ταῖς προνοιαῖς, ἔκτισε κάστρο ἐκεῖθες·

[1] Le ms. de Paris dit Ῥοντζέρης.

Καρίτεναν τ' ὠνόμασεν· οὕτως τὸ λέγουν πάλαι.
595 Ἐκεῖνος γὰρ ἐγέννησεν υἱὸν, μισὺρ Ντζεφρὲ ἐκεῖνον
Αὐθέντην τῆς Καρίτενας (οὕτως τὸν ὠνομάζαν),
Ὁποῦ ἦτον εἰς τὴν Ῥωμανιὰν ἐξακουστὸς στρατιώτης.
Ἀπαύτου πάλαι ἔγραφεν τρίτος μπαροῦς ἐκεῖνος,
Μισὺρ Γυλιάμον τὸν ἔλεγαν, Ἀλαμάνος τὸ ἐπίκλην εἶχεν·
600 Ἡ Πάτρα γὰρ τοῦ ἔγραφε νὰ ἔχῃ, καὶ αὐθεντεύῃ,
Μὲ ὅλην της τὴν διακράτησιν τοῦ ἐδόθη νὰ τὴν ἔχῃ.
Ἀπαύτου ἐδόθη ἡ μπαρουνιὰ μισὺρ Μαΐου ἐκείνου,
Ντὲ Μοῦς εἶχε τὸ ἐπίκλην του, (οὕτως τὸν ὠνομάζαν),
Τὸ κάστρον τῆς Βελιγοστῆς, καβαλλαριῶν τεσσάρων
605 Τὰ φίε νὰ τὰ ὑποκρατοῦν, καὶ φλάμπουρον βαστάζῃ.
Ἀπαύτου πάλαι ἔγραφεν ἄλλος μισὺρ Γυλιάμος
Νὰ ἔχῃ τὸ κάστρον τοῦ Νικλιοῦ καὶ αὐτὸς μὲ ἓξ φίε.
Κ' ἄλλος πάλαι ἀπαντοῦ ἔγραφε εἰς τὸ βιβλίον,
Μισὺρ Γγιοῦν τὸν ἔλεγαν, ντὲ Νιβηλὲ τὸ ἐπίκλην.
610 Ἕξη φίε τοῦ ἐδόθησαν νὰ ἔχῃ στὴν Τζακωνίαν·
Κάστρον ἔκτισεν ἐκεῖ τὸ ὠνόμασεν Γεράκι.
Τὸν μισὺρ Ὄτον ντὲ Ντουρνᾶ ἐπρόνοιασεν ὡσαύτως,
Νὰ ἔχῃ τὰ Καλάβρητα, καὶ φίε δέκα καὶ δύο.
Ἀπαύτου ἔγραφεν ὁμοίως ὁ μισὺρ Οὔγγος ντὲ Λέλε
615 Νὰ ἔχῃ ὀκτὼ καβαλλαριῶν φίε εἰς τὴν Βοστίτζαν·
Ἄφηκε τὸ ἐπίκλην του, ντὲ Τζερπηνὴ[1] ὠνομάσθη.
Τὸν μισὺρ Λούκα ἐδόθησαν τέσσαρα φίε καὶ μόνον,
Τῶν Λάκκων τὴν περιοχὴν νὰ ἔχῃ τὸν Γριτζένον.
Τοῦ μισὺρ Τζὰν γὰρ ντὲ Νουηλὴ ὁ Πασσαβὰς τοῦ ἐδόθη
620 Τέσσαρα φίε νὰ κρατῇ, φλάμπουρον νὰ βαστένῃ,
Νὰ ἦναι πρωτοστράτορας, νὰ τὸ ἔχῃ ἡγονικόν του.

[1] Le ms. de Paris dit Τζέρμπουνη.

Τοῦ μισὺρ Ρουμπέρτου ντὲ Τρευμουλᾶ τέσσαρα φίε τοῦ ἐδῶκαν·
Τὴν Χαλαντρίτζαν ἔκτισε, καὶ ἐλέγαν του ἀφέντην.
Τοῦ Ὁσπηταλίου τοῦ Ἁγιο-Ἰωάννη τέσσαρα φίε ἐδῶκαν·
Τοῦ Τέμπλου ἄλλα τέσσαρα, φλάμπουρον νὰ σηκόνῃ·
Εἶθ' οὕτως γὰρ ἐδόθησαν καὶ αὐτῶν τῶν Ἀλλαμάνων
Τέσσαρα φίε τοῦ νὰ κρατοῦν εἰς τὰ μέρη Καλομάτας.
Τοῦ μητροπολίτου τῆς Πατροῦ μετὰ τοὺς κανονίκους
Οκτὼ φίε καβαλλαριῶν τοῦ ἔδωκαν νὰ ἔχῃ.
Ὁ ἐπίσκόπος τῆς Ὠλενας τέσσαρα φίε τοῦ ἐδῶκαν.
Καὶ τῆς Μεθώνης ἄλλα δὴ καὶ ἐκείνου τῆς Κορώνης
Πρὸς τέσσαρα τοὺς ἔδωκαν μετὰ τοὺς κανονίκους·
Εἶθ' οὕτως τῆς Βελιγοστῆς καὶ ἐκεῖνος τοῦ Ἀμυκλίου
Ὅλοι πρὸς τέσσαρα εἶχασι σὺν τῆς Λακοδαιμονίας·
[Ἐτοῦτοι ὅλοι ὁποῦ μὲ ἀκούεις, καὶ λέγω καὶ ὀνομάζω,]
Εὑρέθησαν εἰς τὸν καιρὸν τοῦ Καμπανέση ἐκείνου
Ἐγγράφους 'ς τὸ ρηπζίστρο του, ὁποῦ ἦσαν προνοιασμένοι.
Οἱ καβαλλάροι ὁποῦ εἶχασιν πρὸς ἕνα φίε ὁ καθένας,
Καὶ οἱ συργένταις ἄλλα δὴ, ὁποῦ ἦσαν προνοιασμένοι,
Οὐδὲν τοὺς ὀνομάζομεν διὰ τὴν πολυγραφίαν.
Καὶ ἀφότου ἀναγνώσασιν ἐκεῖνο τὸ ρηπζίστρο,
Ἐζήτησε ὁ μισὺρ Ντζεφρὲς βουλὴν τῶν κεφαλάδων,
Ὡσαύτως καὶ τῶν ἀρχιερεῶν ἐκείνων τῶν ἐπισκόπων,
Τὸ πῶς νὰ καταστήσουσι, καὶ πῶς νὰ κατορθώσουν
Τὴν πρᾶξιν τε καὶ τὴν ἀφορμὴν, τὸ πῶς θέλουν δουλεύει
Ἐκεῖνοι ὁποῦ εἶχαν ταῖς προνοιαῖς ὅπερ τοὺς ἐπρονοιάσαν,
Διὰ νὰ βαστένουν ἅρματα, τὸν τόπον νὰ φυλάττουν·
Ἐπειδὴ ἂν οὐδὲν φυλάγεται ὁ τόπος ὁποῦ ἐκερδίσαν,
Μὲ τὰ ἅρματα καὶ στρατειὰν, πάλιν τὸν θέλουν χάσει·
Ἐν τούτῳ μὲ κοινῆς βουλῆς, καὶ διάκρισης μεγάλης,
Εἴπασι καὶ διωρθώσαν, καὶ ἐπερίεστησάν τὸ,

Ὅτι ὅσοι καὶ εἴχασι πρὸς τέσσαρα τὰ φίε,
Φλάμπουρα νὰ βασταίνωσι, καὶ φλαμπουριάροι νὰ ἦναι,
Νὰ ὀφείλῃ ἔχει ὁ καθεὶς μετὰ τὸ φλάμπουρόν του
655 Καβαλλάρην ἕνα μετ' αὐτὸν καὶ δώδεκα συργένταις·
Καὶ ὅσοι κρατοῦσιν καὶ ἔχουσιν ἀπάνω τῶν φιὲ τεσσάρων,
Νὰ δίδουν καὶ ἐκπληροῦν διὰ τὸ καθένα φίε
Συργένταις δύο εἰς ἄλογα ἢ ἕνα καβαλλάρην·
Καὶ οἱ καβαλλάροι, ὁποῦ κρατοῦν πρὸς ἕνα φιὲ ὁ καθένας,
660 Ἀτός του ὀφείλει καὶ χρεωστεῖ δουλεύει διὰ τὸ φιὲ του,
Ὡσσύτως καὶ τοὺς λέγουσι Συργένταις τῆς κουγκέστας.
Εἴπασι καὶ ἐδιορθώσαν, διατὸ ἦσαν εἰς τὴν μάχην,
Τὸ μὲν διὰ νὰ φυλάττωσιν ἐκεῖνα ὁποῦ ἐκερδίσαν,
Καὶ τὸ ἄλλον νὰ κερδίσωσιν ἐκεῖνα τὰ οὐκ εἶχαν;
665 Ὅτι νὰ στέκεται ἡ δουλειὰ, τὸν χρόνον ὅλον λέγω
[Εἰς τέτοιον τρόπον καὶ ἀφορμὴν ὡς ἂν τὸ καταλέγω]·
Ὅτι ἐκ τοὺς μῆνας δώδεκα, ὁποῦ ἔχει ὁ χρόνος ὅλος,
Νὰ ἐκπληρόνῃ ὁ καθεὶς τοὺς τέσσαρούς του μῆνας
Εἰς γαρνιζοῦν καθολικὴν[1], ἔνθα ἀρέσει τοῦ αὐθέντη·
670 Τοὺς δὲ τοὺς ἄλλους τέσσαρους νὰ ἀπέρχεται εἰς φουσάτον,
Ἔνθα χρήζει καὶ βούλεται τοῦ προνοιατόρου σύθέντης·
Τὸ δὲ τὸ τρίτον τοῦ χρόνου, τοὺς τέσσαρους γὰρ μῆνας,
Ὀφείλει ὁ προνοιάτορας νὰ ἦναι ὅπου θέλῃ.
Διὰ τοῦτο ὁποῦ εἴπασι, νὰ δουλεύει ὅλον τὸν χρόνον,
675 Ἕνι διὰ τὴν προτίμησιν τοῦ αὐθέντη ὅπερ ἕνι
Ἀπὸ τοὺς μῆνας τοὺς δώδεκα νὰ ἐπέρνῃ ὁποιους θέλει.
Οἱ δ' ἐπισκόποι καὶ ἡ ἐκκλησιὰ, τὸ Τέμπλον καὶ Ὁσπιτάλια
Οὐδὲν ὀφείλουσιν ἐκπληρεῖ εἰς γαρνιζοῦν δουλείας·

[1] Le texte français dit: en garnison de frontière là où il lui (au prince) feroit mestier.

Τὸ δ' εἰς ἁρματοσυμμαχίας καὶ εἰς κούρση καὶ εἰς πολέμους,
680 Ἐνθα ὁ αὐθέντης χρεωστεῖ, καὶ χρειὰ τοῦ τόπου κάμνει,
Ὀφεῖλουν εἶσθαι πανταχοῦ, ὡς καὶ οἱ προνοιατόροι.
Ὡσαύτως ἐπεριέστησαν καὶ ἐτοῦτο τὸ κεφάλαιον·
Ὅτι οἱ ἐπίσκοποι καὶ οἱ προεστοὶ ὅλων τῶν ἐκκλησιῶν
Φλάμπουρα νὰ βασταζουσιν εἰς ἀφορμὴν τῆς μάχης·
685 Τὸ δ' εἰς βουλὴν τῆς αὐθεντειᾶς καὶ εἰς κρίσεις γὰρ τοῦ τόπου
Ὀφεῖλουν εἶσθαι γὰρ αὐτοὶ ὡσὰν καὶ οἱ φλαμπουριάροι,
Ἄνευ γὰρ τῶν φονικῶν κρίσων τε καὶ ὑποθέσεων,
Ὁποῦ οὐκ ἔπρεπεν καμποσῶς νὰ κρίνουν οἱ ἐπισκόποι.
[Καὶ ἀφότου ἀπεκατέστησαν τὰ ὅσα σὲ ἀφηγοῦμαι],
690 Ὥρισεν ὁ μισὺρ Ντζεφρὲς μικρούς τε καὶ μεγάλους,
Ὅλοι νὰ οἰκονομηθοῦν τοῦ νὰ ἔχουν φουσατεύσῃ,
Τοὺς τόπους ὁποῦ ἐπρονοιάσθησαν, νὰ τοὺς ἔχουν κερδίσει,
Καὶ ἐκείνους, ὁποῦ οὐκ εἴχασι, τὰ θέλουν κουγκεστήσῃ.
Καὶ ὅσον ἐφουσάτευσαν, ὤρθωσαν νὰ ὑπαγέναν,
695 Μὲ τὴν βουλὴν γὰρ τῶν Ῥωμαιῶν, ὁποῦ ἤξευραν τοὺς τόπους.
Ὁλόρθα 'ς τὴν Βελιγοστὴν ἐκεῖ τοὺς ἀπεσῶσαν·
Εἰς χαμοδοῦνιν ἐκείτετον τὸ κάστρο ἐκεῖνο τότε·
Μὲ πόλεμον τὸ ἐπήρασιν· ὀλίγοι ἐπροσκυνῆσαν.
Ἀπαύτου ὁλόρθα ἐδιέβησαν ἐκεῖσε εἰς τὸ Νίκλιν·
700 Ἐκεῖνο εἰς κάμπον ἐκείτετον· τὸ εἰδεῖ γὰρ τὰ φουσάτα,
Τὰ Φράγκικα καὶ τῶν Ῥωμαίων ὁποῦ ἦσαν μετ' ἐκείνους,
Οἱ ἄρχοντες τοῦ Νικλίου[1] τοὺς πύργους ἀφερώσαν
Μὲ τὸν λαὸν καὶ ἄρματα ὁποῦ εἴχασι μετ' αὔτους.
Οἱ τοῖχοι ἦσαν ὑψηλοὶ ὅλοι μὲ τὸ χορήγη.
705 Ἐστάθησαν εἰς πόλεμον μὲ προθυμίαν μεγάλην.
Ἡμέραις τρεῖς ἐκράτησαν τὸν πόλεμον τοῦ κάστρου,

[1] Le ms. de Copenhague dit à tort ici: τοῦ Ἀμικλίου.

Καὶ οὐδὲν ἠθέλησαν ποσῶς νὰ τοῦ παραδοθοῦσιν.
Ἰδὼν τοῦτο ὁ μισὺρ Ντζεφρὲς, ὥρισε καὶ ἠφέραν ξύλα,
Νὰ ποιήσουν σκρόφαις, ἀλλὰ δὴ ὁμοίως καὶ τριμπουτζέτα·
710 Ὤμωσεν γὰρ εἰς τὸν ὅρκον του, ἀπέκει οὐ μὴ μισεύσει,
Ἕως οὗ νὰ πάρῃ ἀπὸ σπαθιοῦ τὸ κάστρον τοῦ Νικλίου·
Καὶ εἰ τὸ ἐπάρῃ ἀπὸ σπαθὶ μὲν ψυχὴν μὴ ἐλεημονήσῃ.
Ἀκούσον ταῦτα, οἱ Ῥωμαῖοι, ὁποῦ ἦσαν μὲ τοὺς Φράγκους,
Ὁποῦ εἴχασι γὰρ συγγενοὺς ἐκεῖ ἀπέσω εἰς τὸ κάστρον,
715 Σύντομα τοὺς ἐμήνυσαν, καὶ ἐπληροφόρησάν τους,
Ὅτι ἐὰν τὸ κάστρο οὐ δώσουσι, καὶ νὰ παραδοθοῦσι,
Καὶ πιάσουν τὸ ἀπὸ σπαθίου, ὅλοι εἶν' ἀποθαμένοι.
Καὶ ὡς το ἤκουσαν οἱ ἅπαντες ἐκεῖνοι οἱ Νικλιώταις,
Βουλὴν ἀπῄρασιν ὁμοῦ, τὸ κάστρον ἐπαραδῶκαν.
720 Μὲ συμφωνίαις τὸ ἔδωκαν νὰ ἔχουν τὰ ἡγονικά τους.
[Καὶ ὅσον ἐπαράλαβεν ὁ μισὺρ Ντζεφρὲς τὸ Νίκλι]
Ὥρισε καὶ ἐσωτάρχησαν τὸ κάστρο, ὡς ἔπρεπεν καὶ ἁρμόζει·
Καὶ ἐν τούτῳ ἐμισεψεν ἀπεκεῖ καὶ ἐδιάβηκεν ὁλόρθα
Ἐκεῖσε εἰς τὴν Λακοδαιμονιάν· χώρα ἦτον μεγάλη,
725 Μὲ πύργους καὶ καλὰ τειχέα ὅλα μὲ τὸ χορήγη[1].
Πολλὰ γὰρ ἀφιρώσασιν, νὰ μὴ παραδοθοῦσιν.
Ἡμέρας πέντε ἐποίησαν οἱ Φράγκοι ἐκεῖ τὸν γύρον
Μὲ πόλεμον ἀκάλειπτον ἡμέραν γὰρ καὶ νύκτα.
Τὰ τριμπουτζέτα ἐστήσασι, τὰ ἤφεραν ἐκ τὸ Νίκλιν·
730 Καὶ ὡσὰν τοὺς ἀπεκτείνασι, καὶ ἐχάλασαν τοὺς πύργους,
Μὲ βιὰν ἐπαραδόθησαν, μὲ συμφωνίαις, καὶ ὅρκον,
Νὰ ἔχουσι τὰ ὁσπήτια τους καὶ ταῖς προνοιαῖς ὁποῦ εἶχαν.
[Καὶ ἀφότου ἐπαρεδόθησαν οἱ Λακοδαιμονίτες,]
Ἐκεῖσε ἀπέσω ἀπλίκευσε μισὺρ Ντζεφρὲς ἀτός του·

[1] Le ms. de Paris dit : μὲ τὸν ἀσβίστην.

735 Ὥρισε τὰ φουσάτα του, καὶ ἄρχισαν νὰ κουρσεύουν
Τὸ μέρος γὰρ τῆς Τζακωνιᾶς καὶ μέχρι εἰς τὸ Ἔλος,
Καὶ ἐκεῖσε εἰς τὰ Βατικὰ καὶ εἰς τὴν Μονοβασίαν.
Ἐνταῦθα ἤλθαν οἱ ἄρχοντες τῆς Λακεδαιμονίας,
Ὡσαύτως γὰρ τοῦ Ἀμικλίου, ὁποῦ εἶχαν ταῖς προνοίαις τους
740 Ἐκεῖσε εἰς τὴν Τζακωνιὰν καὶ εἰς τοὺς ἑτέρους τόπους
Ὁποῦ τοὺς ἐκουρσεύασιν ἐκεῖνα τὰ φουσάτα,
Καὶ λέγουν τοῦ μισὺρ Ντζεφρὲ, εἴπαν, παρακαλοῦν τον,
Νὰ ὁρίσῃ τὰ φουσάτα του νὰ παύσουσι τὰ κούρσι,
Νὰ προσκυνήσουν τὰ χωριὰ, αὐθέντην νὰ τὸν ἔχουν.
745 Καὶ ἐκεῖνος, ὡς παμφρόνιμος, ἤκουσε τῶν ἀρχόντων,
Καὶ ὥρισεν, καὶ ἐστράφηκαν ὀπίσω τὰ φουσάτα.
Ἐν τούτῳ ὁρίζει καὶ ἤλθασιν οἱ πρῶτοι τῆς βουλῆς του,
Ἐκεῖνοι ὁποῦ ἐπρονοιάζασιν ταῖς χώρεις τῶν στρατιώτων·
Ἐγγράφως γὰρ τὰ ἐβάλασιν ἀπέσω εἰς τὸ ῥιτζίστρα
750 Τὰ ὅσα ἐκερδίσασι, καὶ ὅσα ἐκουγκεστήσαν,
Ἀφότου γὰρ ἐμίσευσεν ἐκεῖνος ὁ Καμπανέσης,
Ἐκράξεν γὰρ τοὺς ἄρχοντας, τοὺς πρώτους τοῦ Μωραΐως·
Καὶ ἠρώτησέ τους ἀκριβῶς νὰ τὸν πληροφορήσουν,
Τὸ τί κάστρη ἐκεμένουσιν, ὁποῦ οὐκ ἐπροσκυνῆσαν·
755 Καὶ ἐκεῖνοι τοῦ ἀπεκρίθησαν καὶ ἐπληροφόρησάν τον·
«Τέσσαρα κάστρη, αὐθέντη μας, σὲ λείπουσιν ἀκόμη·
«Τὸ πρῶτον εἶν' ἡ Κόρινθος, τὸ δεύτερον τὸ Ἀνάπλιν,
«Τὸ τρίτον ἔκι ἡ Μονοβασιὰ, τὸ τέταρτον τὸ Ἄργος·
«Πολλὰ εἶν' τὰ κάστρη δυνατὰ, καλὰ σωταρχιαμένα.
760 «Μὲ πόλεμον οὐκ ἠμπορεῖς ποτέ σου νὰ τὰ ἐπάρῃς.
«Λοιπὸν ἂν θέλῃς, αὐθέντη μας, τὰ κάστρη νὰ τὰ ἐπάρῃς,
«Καὶ ἡμεῖς τὸ γένος τῶν Ῥωμαίων δοῦλοί σου ν' ἀποθάνουν,
«Τοῦτο ζητοῦμεν, λέγομεν, μεθ' ὅρκου νὰ μᾶς τὸ ποιήσεις,
«Ἐγγράφως νὰ τὸ ἔχωμεν ἡμεῖς καὶ τὰ παιδιά μας,

765 « Ἀπὸ τοῦ νῦν καὶ ἔμπροσθεν Φράγκος νὰ μὴ μᾶς βιάσῃ
« Ν' ἀλλάξωμεν τὴν πίστιν μας, διὰ τῶν Φράγκων τὴν πίστιν,
« [Μήτε ἀπὸ τὰ συνήθειά μας, τὸν νόμον τῶν Ρωμαίων]. »
Ἀκούσου ταῦτα ὁ μισὺρ Ντζεφρὲς, καλῶς τὸ ἀπεδέχθη·
Μεθ' ὅρκου τοὺς τὸ ἐστερέωσεν, ἐγγράφως τοὺς τὰ ἔπαιρεν.
770 Καὶ ἀφότου ἀποκατέστησε μισὺρ Ντζεφρὲς ἐκεῖνος
Τὰ πάντα ὅλα πράγματα Φράγκων τε καὶ Ρωμαίων,
Τοῦ καθενὸς τὴν ὄρεξιν καὶ τὰ προνοιάσματά τους,
Τόσα τὸν ἠγαπήσασι μικροί τε καὶ μεγάλοι,
Διατὸ ἦτον καλοϋπόληπτος, εἰς ὅλους δικαιοκρίτης,
775 Ὅτι βουλὴν ἐπήρασιν οἱ φρονιμώτεροί τους,
Τὸ πῶς νὰ τοῦ ἔμεινεν ἡ αὐθεντειὰ τοῦ τόπου τοῦ Μωραίως·
Διατὸ ἦτον ἄνθρωπος καλὸς, φρόνιμος εἰς τοὺς πάντας,
Παρὰ νὰ ἔλθῃ ἐκ τὴν Φραγκιὰν ὁ κάποιος ῥουχολόγος,
Ἀπαίδευτος καὶ ἀδιάκριτος, καὶ νὰ τοὺς σκανδαλίσῃ.
780 Ἐν τούτῳ ἦλθαν εἰς αὐτὸν, τοὺς λόγους του ἀπεσώσαν·
Ἐκεῖνος γὰρ ἐδιάλυσε πολλὰ τὴν ἁμαρτίαν,
Καὶ οὐδὲν ἤθελεν ποσῶς, αὐτὸ νὰ τὸ ποιήσῃ.
Ὅμως τόσα τὸν εἴπασι, τόσα τὸν ἐδιάσεσαν,
Ὅτι τὴν ἐξηλώσασιν ἀπὸ τὴν διάκρισίν του,
785 Ἐσυγκατέβη νὰ γενῇ, τὸ πρᾶγμα νὰ πληρώσῃ.
Ἐν τούτῳ ἐσκοπήσασιν, τὸ πῶς νὰ διορθώσουν,
Μὲ ποταπὴν ὑπόθεσιν νὰ ἔχουν ἐμποδίσει
Ἐκεῖνον ὁποῦ ἐτύχαινε νὰ ἔλθῃ ἐκ τὴν Φραγκίαν·
Νὰ ἐμποδισθῇ μὲ τίποτε τρόπον νὰ μὴ ἀποσώσῃ
790 Ἐντὸς τοῦ τέρμενου ἐκείνου, ὁποῦ ἔστησε ὁ Καμπανίστης.
Ἐνταῦθα ὁ μισὺρ Ντζεφρὲς, ὡς γνωστικὸς ὁποῦ ἦτον,
Καβαλλάρην ἀπέστειλεν ὁποῦ εἰσόψυχόν του εἶχε,
Καὶ ἐδιάβηκεν εἰς τὴν Βενετιὰν ὁλόρθα εἰς τὸν δοῦκαν.
Φιλίαν καὶ ἀγάπην εἶχασι καὶ ἐγνωριμίαν μεγάλην.

795 Δωρήματα τοῦ ἔστειλεν, ἀξιοπαρακαλεῖ τον,
Νὰ ποιήσῃ πρᾶξιν τίποτε, καὶ ἔμποδος νὰ γένῃ
Εἰς ἐκεῖνον ὁποῦ ἐτύχενεν νὰ στείλῃ ὁ Καμπανέσης.
Ὡσαύτως γὰρ ἀπέστειλεν καὶ ἄλλον εἰς τὴν Φραγκίαν
Εἰς φίλους του καὶ συγγενεῖς ὁποῦ εἶχε εἰς τὴν Τζαμπανίαν.
800 Ἐνταῦθα ἀφίνω ἐδῶ νὰ γράφω καὶ νὰ λέγω
Δι' ἐκεῖνον τὸν μισὺρ Ντζεφρὲν, διὰ νὰ σὲ καταλέξω
Περὶ ἐκεῖνον τὸν εὐγενικὸν τὸν κόντον τῆς Τζαμπανίας,
Τὸ πῶς ἐκατευόδωσεν, ἀφότου ἀπῆλθεν ἐκεῖθεν,
Ὅταν ἐδιάβη εἰς τὴν Φραγκιὰν ἐκεῖ εἰς τὸ ἠγονικόν του.
805 Ἀφότου γὰρ ἐμίσεψεν ἐκεῖνος ὁ Καμπανέσης
Ἀπὸ τὸν τόπον τοῦ Μωραιὼς, καὶ ἐδιάβη εἰς τὴν Φραγκίαν,
Εἰς τὴν Τζαμπάνιαν ἀπέσωσεν, ὁποῦ πολλὰ ἐπεθύμα[1]·
Καλὰ τὸν ἀποδέχθησαν ἐκεῖνοι οἱ ἐδικοί του·
Καὶ ἀφότου γὰρ ἀναπαύθηκε κὰν δεκαπέντε ἡμέραις,
810 Ἐμίσεψεν, ἐδιέβηκε σ' τὸν ῥήγαν τῆς Φραγκίας·
Εἰς τὸ Παρὶς τὸν ηὕρηκε μετὰ τοὺς ἄρχοντας του·
Ἐώρταζεν τὴν Πεντηκοστὴν, καθὼς τὸ ἔχουν οἱ Φράγκοι·
Χαρὰν μεγάλην ἔπηκε γὰρ τοῦ κόντου ὁ ῥήγας
Διατὶ τὸν εἶδε καὶ ἔπηκε στρέμμα ἐκ τὴν Ρωμανίαν,
815 Ὡσαύτως καὶ ὅλοι οἱ εὐγενικοὶ δουκάδες καὶ κοντάδες[2],
Ὁποῦ ἦσασι συντρόφοι του, ὁμοίως καὶ συγγενεῖς του.
Καὶ ὅσον ἐκαταχάρησαν ἐκεῖσε γὰρ ἀλλήλους,
Τὸ ὁμάντζιο[3] ἐποίησεν τοῦ ῥιγὰς ὡς διὰ τὸ ἠγονικόν του,
[Καὶ ἀπηλογίαν ἐζήτησεν· εἰς τὴν Τζαμπάνιαν ἐστράφη]·
820 Καὶ ὅσον ἦλθε εἰς τὸν τόπον του, καὶ ἐσέβηκεν αὐθέντης,
Διορθόνοντας τὸν τόπον του καὶ ταῖς ὑπόθεσαίς του,

[1] Cet hémistiche est omis dans le ms. de Copenhague.
[2] Voy. le Gloss. des mots francs grécisés.
[3] Voy. le Glossaire.

Μῆνες ὀκτὼ ἐπεράσασιν, τόσους τοὺς ἐγνωμιάσαν,
Καὶ ἐνταῦθα ἐνθυμήθηκε ταῖς συμφωνιαῖς, ὁποῦ εἶχε
Μ' ἐκεῖνον τὸν μισὺρ Ντζεφρὲν διὰ τοῦ Μωραιὼς τὸν τόπον.
825 Ἐλπίδα εἶχε δυνατὴν καὶ θάῤῥος μέγα εἰς αὔτον,
Ὅτι τὸ στείλει του κανεὶν ἀπὸ τοὺς ἐδικούς του,
Νὰ τὸν δεχθῇ ὡς αὐθέντην του, τὸν τόπον νὰ τοῦ παραδώσῃ.
Ἐν τούτῳ ἀπῆρεν τὴν βουλὴν μετὰ τοὺς ἐδικούς του,
Τὸ ποῖον νὰ στείλῃ εἰς τὸν Μωραιὰν δι' αὐθέντην καὶ δίκαιόν του.
830 Ὁκάποιον εἶχεν ἐξάδελφον, τὸν ἔλεγαν Ῥουμπέρτον[1]·
Ἄνθρωπος ἦπον νεούτζικος, ἐξαίρετος εἰς πάντα·
Κράζει καὶ ῥεβεστίζει[2] τον ὁ κόντος τῆς Τζαμπάνας
Ἀπὸ τὸν τόπον τοῦ Μωραιὼς, τὴν αὐθεντειὰν τοῦ ἐδώκε·
Ὥρισε καὶ ἐγράψασιν ὅλα τά προβελέγκια[3],
835 Ὡσαύτως τὰ παραδοτικά, τὰ μελλε νὰ ἐπάρῃ·
Λογάριν τοῦ ἔδωκε πολὺν, καὶ φαμιλιὰν[4] μετ' αὔτον,
Καβαλλαρίους[5] γὰρ τέσσαρους, καὶ εἰκοσιδυὸ συργένταις[6].
Ἐκ τὴν Τζαμπάνιαν ἐξήβηκε 'ς τὸ εὔγα τοῦ νοεμβρίου·
Καὶ ὅταν ἦλθε εἰς τοῦ Σαβοὲ τὰ ὄρη νὰ περάσῃ,
840 Τὰ χιόνα εὗρε δυνατὰ, πολλὰ πυκτὰ εἰς τὰ ὄρη,
Ὁποῦ χωρίζουν τὴν Φράγκιαν ἀπὸ τὴν Λουμπαρδίαν,
Καὶ οὐδὲν ἠμπόρεσε ποσῶς τοῦ νὰ ἔχῃ ἀπεράσει.
Ἐν τούτῳ ἄργησεν ἐκεῖ ἕνα μῆνα καὶ πλέον·
Καὶ ὅταν ἠμπόρεσε νὰ ἐλθῇ, τὰ ὄρη νὰ ἀπεράσῃ,
845 Ἐξῆλθεν ἐκ τῆς Λουμπαρδιᾶς, ὡδήγευσε καὶ ἦλθε·

[1] Voy. l'Index onomastique.
[2] Voy. le Glossaire.
[3] Voy. le Glossaire.
[4] Voy. le Glossaire.
[5] Voy. le Glossaire.
[6] Voy. le Glossaire.

'Σ τὴν Βενετίαν ἀπέσωσε 'ς τὸ εὔγα τοῦ ἰανουαρίου,
Ἐλπίζοντα νὰ εὕρῃ ἐκεῖ κάτεργον νὰ ἀπεράσῃ.
Ὁ δούκας γὰρ τῆς Βενετιᾶς, ὡς τὰ ἐπληροφορήθη
Ὅτι ὁ Ῥουμπέρτος ἦλθεν ἐκεῖ, ὁ ἐξάδελφος τοῦ κόντου,
Ἐκ τὴν Τζαμπάνιαν ἔρχεται, νὰ ἀπέλθῃ εἰς τὸν Μωραΐαν,
Κράζει τὸν ἀμιράλην του, καὶ μυστικῶς τὸν εἶπεν
Τὸ πρᾶγμα, τὴν ὑπόθεσιν νὰ τὸν ἔχῃ ἐμποδίσει,
Νὰ μὴν τοῦ δώσῃ πλεντικὸν, εἰς τὸν Μωραΐαν νὰ ἀπέλθῃ.
Ὁ δούκας γὰρ τὸν ἔκραξε ἐκεῖνον τὸν Ῥουμπέρτον,
Τιμὴν μεγάλην τοῦ ἔπηκε καὶ φιλοπροσωπίαν,
Ν' ἀποθαρρήσῃ εἰς αὐτὸν, νὰ τὸν ἔχῃ ἀπεργώσει·
Καὶ τόσα τὸν ἐκράτησε μὲ τὰ καλά του λόγια,
Μὲ τρόπους γὰρ καὶ ἀφορμαῖς, καὶ πρόφασαις ὁμοίως,
Ὅτι ἄργησε 'ς τὴν Βενετιὰν, καὶ δυὸ μῆνας καὶ πλέον.
Ἀπαύτου δὲ τοῦ ἔδωκε κάτεργο ἁρματωμένον,
Τὸ ἐτύχενεν νὰ ἀπέλθῃ ἐκεῖσε εἰς τὴν Κρήτην·
Καὶ ὥρισε τὸν κόμιτα, τοῦ κατέργου τὸν κύρην,
Εἰς τοὺς Κορφοὺς διαβαίνοντα, ἐκεῖ νὰ τὸν ἀφήκουν.
Λοιπὸν, ὡσὰν σὲ τὸ λαλῶ, ἐγείνετο τὸ πρᾶγμα·
Καὶ ὡς τὸ ἤφερεν τὸ κάτεργον εἰς τοῦ Κορφοῦ τὸ κάστρον,
Ὁ κόμιτας τὸν ἔκραξεν ἐκεῖνον τὸν Ῥουμπέρτον,
Καὶ λέγει του· « Τὸ κάτεργον ἔσπασεν ἀποκάτω,
« Καὶ χρήζομεν νὰ εὐθυασθῇ, νὰ τὸ καλαφατίσω·
« Λοιπὸν, καλέ μου ἀδελφὲ, τὰ ῥοῦχά σου ἂς ἐβγάλουν
« Ν' ἁλαφρωθῇ τὸ κάτεργον, νὰ τὸ καλαφατίσω. »
Καὶ ἐκεῖνος λογιζόμενος εἰς ἀλήθειαν τοῦ τὸ λέγει,
Ὥρισε καὶ ἐξέβαλλεν τὰ ῥοῦχά του εἰς τὸ κάστρον,
Καὶ ἐκεῖνος γὰρ ἀπλίκευσεν εἰς τὸ ξενοδοχεῖον.
Καὶ ὅταν ἐπέρασε ὁ καιρὸς, τῆς νύκτας γὰρ τὸ πλεῖον,
Καὶ ἐλάλησεν ὁ πετεινὸς, ἐκεῖνοι τοῦ κατέργου

Εδωκαν τὴν συρίστραν τους, καὶ εὐθέως πάντα ὑπαγένουν·
Καὶ ὅταν ἐξημέρωσε, καὶ ἐννόησεν ὁ Ῥουμπέρτος,
Ἐξύπνισαν καὶ εἶπάν του, τὰ κάτεργον ἐδιάβη.
Καὶ ὡς τὸ ἔμαθεν εἰς πληροφορίαν, ἄρχισε νὰ λυπῆται·
880 Ἐνταῦθα ἐγνώρισε καλὰ, δημηγερσιὰν τοῦ ἐπῆκαν·
Καὶ ὅσον τὸ ἐπληροφορήθηκε, καὶ ἀπείκασε τὸν δόλον,
Ἐγύρευσε, καὶ ηὕρηκε βάρκαν τοῦ νὰ ναυλώσῃ·
Καὶ ὁ καπετάνος τῶν Κορφῶν, διατὸ ἦτον ξενιασμένος
Ἀπὸ τὸν αὐθέντην τοῦ Μωραιὼς τὸν μισὺρ Ντζεφρὲν ἐκεῖνον,
885 Ὥρισε καὶ ἐκράξασιν τῆς βάρκας τὸν αὐθέντην·
Ὁρίζει, ἐπροφωνέθη τον ἀπάνω εἰς τὸ κορμί του,
Νὰ μὴν περάσῃ καμποσῶς ἐκεῖνον τὸν Ῥουμπέρτον.
Ἐκεῖνο γὰρ τὸ κάτεργον, ὁποῦ εἰς τὴν Κρήτην ἐδιέβη,
Ἔρριξεν ἕναν ἄνθρωπον 'ς τὸν ἅγιον Ζαχαρίαν,
890 Ἐκεῖ ὁποῦ εἶναι σήμερον ἡ χώρα τῆς Κλαρέντζας[1]·
Ἀπὸ τὸν δούκαν ἐβάσταζεν ἐκεῖνον τῆς Βενετίας
Πιττάκια εἰς τὸν μισὺρ Ντζεφρὲν αὐθέντην τοῦ Μωραίως,
Δηλοποιοῦντα, γράφοντα δι' ἐκεῖνον τὸν Ῥουμπέρτον,
Τὸ πότε ἐκατέλαβεν ἐκεῖ εἰς τὴν Βενετίαν,
895 Καὶ πῶς τὸν ἐμπυδίσασιν μῆνας δύο καὶ πλεῖον,
Καὶ πῶς πάλαι τὸν ἔρριξεν εἰς τῶν Κορφῶν τὴν νῆσον
Τὸ κατέργον τῆς Βενετιᾶς, ὁποῦ εἰς τὴν Κρήτην ἐδιάβη.
'Σ τὴν Ἀνδραβίδα εὑρέθηκε ὁ μισὺρ Ντζεφρὲς ἐτότε,
Καὶ τοῦ ἔφερε ὁ Βενέτικος ἐκεῖνα τὰ πιττάκια.
900 Τιμὴν μεγάλην τοῦ ἔδωκε, καὶ ἐφιλοδώρησέ τον·
Κράζει τὸν κιβιτάνον του ἐκεῖνον τῆς Ἀνδραβίδας·
Λεπτῶς τὸν ἐπαράγγειλε τὸ πῶς ὀφείλει ποιήσει,
Ὅταν περάσῃ γὰρ καὶ ἐλθῇ ἐκεῖνος ὁ Ῥουμπέρτος.

[1] Voy. l'Index géographique.

Καὶ ἐκεῖνος γὰρ ἐξέβηκε ἀπὸ τὴν Ἀνδραβίδα.
905 Ἐς τὸ Βλιζιρὶ ἐδιέβηκε διὰ νὰ περιαναμένῃ,
Ὡς οὗ νὰ μάθῃ τίποτε περὶ γὰρ τοῦ Ῥουμπέρτου.
Ἀφότου γὰρ ἐγνώρισεν ἐκεῖνος ὁ Ῥουμπέρτος
Τὸν τρόπον τῆς δημηγερσιᾶς, ὁποῦ τὸν ἀπεργῶσαν
Οἱ Βενετίκοι, σὲ λαλῶ, ὡσὰν σὲ τὸ ἀφηγοῦμαι,
910 Ἐδιάσθηκεν πολλὰ νὰ εὑρῇ βάρκαν τοῦ νὰ περάσῃ,
Νὰ καταλάβῃ εἰς τὸν Μωραιὰν 'ς τὸ τέρμενον ὁποῦ εἶχε.
Τοῦ κατὰ τύχην ἀπέρχετον βάρκα ἀπὸ τὴν Πούλιαν·
Ἐπραγματεύθη, ἐξέβηκεν ἐκεῖ ἀπέσω εἰς τὴν βάρκαν,
Καὶ ἤφερέ τον ἕως ἐκεῖ 'ς τὸν ἅγιον Ζαχαρίαν[1]·
915 Ἠρώτησε νὰ τοῦ εἰποῦν ποῦ εὑρίσκεται ὁ μπαΐλος[2],
Καὶ ὁκάποιος τοῦ ἀποκρίθηκε, 'ς τὴν Ἀνδραβίδα εἶναι..
Συργέντην ἕνα ἀπέστειλεν ἄλογα νὰ τοῦ φέρῃ·
Τὸ πεζοδρόμι ἐδιάβηκεν, ἕως οὗ νὰ σώσῃ ἐκεῖσε.
Οὐκ ηὗρε τὸν μισὺρ Ντζεφρέν, ἀλλοῦ ἦτον διαβασμένος·
920 Τὸν κιβιτάνον ηὕρηκε τῆς χώρας Ἀνδραβίδας·
Ἐνταῦθα τὸν ἐλάλησεν καὶ εἶπέ του τὰ μαντάτα,
Τὸ πῶς 'ς τὸν ἅγιον Ζαχαριὰν εὑρίσκεται ὁ Ῥουμπέρτος,
Ὁ ἐξάδελφος καὶ συγγενὴς τοῦ κόντου τῆς Τζαμπάνιας,
« Ὁποῦ ἦλθε νὰ ἔνι αὐθέντης σας, ἐσᾶς τῶν Μοραΐτων·
925 « Ἄλογα νὰ τοῦ στείλετε, νὰ ἀποσώσῃ ἐνταῦθα. »
Καὶ ὁ κιβιτάνος παρευθὺς, τὸ ἀκούσει τὸ μαντάτον,
Ἐπῆρεν ὅλον τὸν λαὸν, ὁποῦ εἶχε μετ' ἐκεῖνον,
Τοὺς ἄρχοντας καὶ βουργισιοὺς[3] ὅλης τῆς Ἀνδραβίδας,
[Ἄλογα ἀπῆρεν μετ' αὐτὸν ὅσα τοῦ ἔκαμνεν χρεία]

[1] Voy. l'Index géographique.
[2] Voy. le Glossaire.
[3] Voy. le Glossaire.

930 Καὶ ἐκεῖσε ὁλορθὰ ἐδιάβηκεν 'ς τὸν ἅγιον Ζαχαρίαν.
Χαρὰν μεγάλην ἐπήκασιν, ὡς εἶδαν τὸν Ῥουμπέρτον,
Καὶ πρόβλεψιν τοῦ ἐδείξασιν, ὅτι πόλλ' ἀγαποῦσαν
Νὰ ἔλθῃ, νά 'ναι αὐθέντης τους, νὰ ζήσουν μετ' ἐκεῖνον.
Ἐν τούτῳ τὸν ἐπήρασι μετὰ χαρᾶς μεγάλης,
935 'Σ τὴν Ἀνδραβίδα ἤλθασιν, ἐκεῖ τὸν ἀπλικεῦσαν.
Ἐκεῖνος γὰρ περιχάρειαν σπλάγχνος ἔδειξε μέγα,
Καὶ ὅλους ἀπεδέχετο, καὶ ἐκαλολόγιζέ τους,
Σκοπῶντα, καὶ λογίζοντα, τοῦ νὰ τοὺς ἔχῃ δούλους,
Καὶ ἐκεῖνοι πάλαι αὐθέντην τους νὰ ἔχουσιν ἐκεῖνον.
940 Ἐν τούτῳ εὑρέθη ὁ κάποιος, καὶ ἐπληροφόρησέ τον
Τὸν τρόπον καὶ ταῖς συμφωνιαῖς, ὁποῦ εἶχε ὁ Καμπανέσης
Μ' ἐκεῖνον τὸν μισὺρ Ντζεφρὲν, τὸν μπαΐλον[1] τοῦ Μωραΐως,
Ἐπειδὴ ἂν περάσῃ ὁ καιρὸς, τὸ τέρμενον[2] τοῦ χρόνου,
Νὰ ἐσμίξῃ τὸν μισὺρ Ντζεφρὲν, τὴν αὐθεντείαν νὰ ἐπάρῃ,
945 Ἔχασε γὰρ τὸν κόπον του καὶ τὰ ἦλθε νὰ γυρεύῃ.
Ἀκούσον ταῦτα ὁ εὐγενικὸς ἐκεῖνος ὁ Ῥουμπέρτος,
Τοῦ κιβιτάνου ἐζήτησεν ἄλογα νὰ τοῦ δώσῃ,
Ὅπως ν' ἀπέλθῃ σύντομα ἐκεῖσε εἰς τὸν μπαΐλον,
Ὡσαύτως νὰ ἔχῃ καὶ ὁδηγὸν, διὰ νὰ τὸν ὁδηγέψῃ·
950 Καὶ ὁ κιβιτάνος ἦπον χρειὰ νὰ κάμῃ τὸ θέλημά του.
Ἄλογα τοῦ ἤβρεν ὅσα ἤθελεν καὶ συντροφιὰν ὁμοίως.
Ἀτός του ἐδιέβη μετ' αὐτὸν ἕως εἰς τὸ Βλιζίρι,
Λέγοντα καὶ λογίζοντα ἐκεῖ νὰ εὕρουν τὸν μπαΐλον.
Ἐκεῖνος γὰρ ὁ μισὺρ Ντζεφρὲς τὸ ἀκούσει τὸ μαντάτον,
955 Ὅτ' ὁ Ῥουμπέρτος ἔσωσε 'ς τὸν ἅγιον Ζαχαρίαν,
Εὐθέως ἐξέβη ἀπεκεῖ, εἰς τὴν Καλομάτα ἐδιάβη

[1] Voy. le Glossaire.
[2] Voy. le Glossaire.

Καὶ πάλαι ἀπεκεῖ ἔμαθεν, ὡς ὅτ' ἔρχεται ὁ Ῥουμπέρτος,
Ἐμίσεψεν καὶ ἐδιάβηκε μετὰ τὴν φαμελίαν του
Ὁλόρθα 'ς τὴν Βελιγοστὴν[1], τὸ μεσημέρι ἐσῶσαν.
960 Ἐκεῖνοι γὰρ ὁποῦ ἤσασι μ' ἐκεῖνον τὸν Ῥουμπέρτον,
Ὁλόρθα τὸν ἐδιάβασαν ἐκεῖ εἰς τὴν Καλομάτα·
Καὶ ἀπέκει ἐπῆραν τ' ἄλογα, κ' ἐστράφησαν ὀπίσω.
Ὁ δὲ Ῥουμπέρτος ἔμεινεν ἐκεῖσε μοναχός του.
Τὸν κιβιτάνον ἔκραξε τοῦ κάστρου Καλομάτας,
965 Παρακαλεῖ καὶ λέγει τον ἄλογα νὰ τὸν δώσῃ,
Νὰ ἀπέλθῃ 'ς τὸν μισὺρ Ντζεφρὲν, τὸν μπάϊλον τοῦ Μωραίως·
Καὶ ἐκεῖνος, ὡς ἠμπόρεσεν, ἄλογα τοῦ ἐδῶκε,
Ὁμοίως καὶ ἔδωκεν ὁδηγοὺς ὁποῦ τὸν ὡδηγεῦσαν·
Καὶ ἐδιέβη εἰς τὴν Βελιγοστὴν. Τὸν μπάϊλον οὐκ ἤβρεν ἐκεῖ·
970 Εἰς τὸ Νικλὶ, τοῦ εἴπασιν, ὅτι εἶναι διαβασμένος.
Ἐκεῖνοι δὲ οἱ Καλοματιανοὶ ἐστράφησαν ὀπίσω,
Ἐγύρισαν 'ς τὰ σπήτια τους ἐκεῖ εἰς τὴν Καλομάταν[2].
Ὁ δὲ Ῥουμπέρτος ἔμεινεν ὡσὰν ἀπορρημένος,
Διατὶ ἄλογα οὐκ εὕρισκεν νὰ ἐπάρῃ μετ' ἐκεῖνον.
975 Ὁμοίως, ὡσὰν ἠμπόρεσεν, ἐκεῖνος ὁ κιβιτάνος
Εὗρεν καὶ ἐδώκεν του ἄλογα, καὶ ἐδιάβη εἰς τὸ Νίκλιν.
Καὶ ἀφότου γὰρ ἀπέσωσε 'ς τὸ Νίκλιν ὁ Ῥουμπέρτος,
Μαντατοφόροι ἀπῆλθασι 'ς τὴν Λακοδαιμονίαν,
Ὅπου ἦτον ὁ μισὺρ Ντζεφρὲς, καὶ ἐπληροφόρεσάν τον,
980 Τὸ πῶς εἰς τὸ Νίκλιν ἀπέσωσε τοῦ κόντου τῆς Τζαμπάνιας
Ὁ ἐξάδελφος ποῦ λέγουσιν Ῥουμπέρτον τὸν ὀνομάζουν.
Καὶ ὁ μισὺρ Ντζεφρὲς, ὡς φρόνιμος, τὸ ἀκούσει τὸ μαντάτον.

[1] Voy. l'Index géographique.

[2] Ce vers manque dans le ms. de Copenhague et je le restitue d'apres le ms. de Paris.

Εὐθέως ἐπῆρε μετ' αὐτὸν μικρούς τε καὶ μεγάλους,
Ὅσοι καὶ ἂν εὑρέθησαν ἐκεῖ εἰς τὴν συντροφιάν του,
985 Καὶ ἦλθεν εἰς συνκπαντὴν ἐκείνου τοῦ Ῥουμπέρτου.
Μετὰ τιμῆς, καὶ πρόβλεψης ἐσυναπάντησέ τον.
Χαρὰν μεγάλην τοῦ ἔδειξεν εἰς τὸ ἐμφανὲς τῶν πάντων.
Καὶ ἀφότου ἀποσώσασι 'ς τὴν Λακοδαιμονίαν,
Ὥρισεν καὶ ἀπλικεῦσαν τον 'ς τῆς αὐθεντειᾶς τὰ ὀσπήτια.
990 Ἐκεῖνος γὰρ ὁ ἐξάδελφος τοῦ κόντου τῆς Τζαμπανίας
Ὡς ἔχοντας τὸν λογισμὸν τὴν αὐθεντειὰν νὰ ἔχῃ,
Ἐπὶ τῆς αὐρίου τὸ πρωΐ, ὡς ἔλαμψεν ἡ ἡμέρα,
Ὥρισε καὶ ἐκράξασιν μισὺρ Ντζεφρὲ τὸν μπαΐλον,
Καὶ εἶπεν οὕτως πρὸς αὐτὸν, νὰ ποιήσῃ νὰ ἔλθουν ἐκεῖνοι
995 Οἱ πρῶτοι καὶ καλιώτεροι, ὁποῦ ἦσαν μετ' ἐκεῖνον,
Νὰ ἰδοῦσι τὰ προστάγματα τοῦ κόντου τῆς Τζαμπάνιας,
Τοὺς ὁρισμοὺς ὁποῦ ἤφερε μετ' αὔτον ἀπ' ἐκεῖνον.
Ἐν τούτῳ ὁ μισὺρ Ντζεφρὲς τὸν ὁρισμόν του ἐπῆκε.
Καὶ ὅσον ἐσωρεύθησαν ἐκεῖσε πάντες ὅλοι,
1000 Καὶ ἐκάθησαν διὰ ν' ἀκροασθοῦν τὰ ἔγραφεν ὁ κόντος,
Ἕναν κλέρην ἐσήκωσε, ὁποῦ ἤφερε μετ' αὔτον·
Τὰ προβελέγκια[1] ὁποῦ ἤφερεν, ὥρισε ν' ἀναγκώσῃ.
Καὶ ἀφότου γὰρ τὰ ἀνάγνωσε, καὶ ἐνεφάνισεν τοὺς λόγους,
Τὸ πῶς ὁ κόντος τοῦ ἔδωκε τὴν αὐθεντειὰν τοῦ τόπου,
1005 Ὅλης τῆς Πελοπόννησος, ὅσον κρατεῖ ὁ Μωραΐας,
Καὶ ἀπαύτου πάλιν ἔδειξε, καὶ ἀνάγνωσεν το ὁμοίως,
Προστάγματα καὶ ὁρισμοὺς 'ς ὅλους τοὺς κεφαλάδες
Τοῦ νὰ δεχθοῦν δι' αὐθέντην τους ἐκεῖνον τὸν Ῥουμπέρτον·
Καὶ ὅσον ἀπαναγνώθησαν τὰ ἔγγραφα ἐκεῖνα,
1010 Σηκόνεται ὁ μισὺρ Ντζεφρὲς εἰς τὸ ἐμφανὲς τῶν πάντων,

[1] Voy. le Glossaire.

Καὶ χαμηλὰ ἐπροσκύνησε τοὺς ὁρισμοὺς τοῦ κόντου·
Καὶ εὐθέως ὁρίζει, ἤφεραν τὰ προβελέγκια, ὁποῦ εἶχαν,
Ταῖς συμφωνιαῖς καὶ ἔγγραφα, ὁποῦ εἶχεν ἀπὸ τοῦ κόντου,
Τὸ πῶς τοῦ ἐπαράδιδεν τοῦ τόπου τοῦ Μωραίως,
1015 Νὰ τὸν φυλάττῃ, καὶ κρατῇ δίκαιόν του νὰ ἦναι μπαΐλος·
Καὶ ἀπέσω εἰς τὸ τέρμενον χρόνου καὶ μιᾶς ἡμέρας,
Ἂν ἔλθῃ ὁ κόντος ἢ ἄλλος τὶς ἀπὸ τοὺς συγγενούς του,
Τὸν τόπον καὶ τὴν αὐθεντειὰν νὰ τοῦ τὴν παραδώσῃ·
Εἴ τε περάσει ὁ καιρὸς, τὸ τέρμενον τοῦ χρόνου,
1020 Καὶ οὐδὲν ἀπέλθῃ ἀπ' ἐκείνους, ὡσὰν σὲ τὸ ἀφηγοῦμαι,
Νὰ μείνῃ ὁ τόπος καὶ ἡ αὐθέντεια, νὰ ἦναι κληρονόμος
Ἐκεῖνος ὁ μισὺρ Ντζεφρὲς ἄνευ καμίας προφάσης.
Καὶ ἀφότου ἀναγνώσθησαν τὰ ἔγγραφα ἐκεῖνα,
Ἡ συμφωνιαῖς ὁποῦ ἔπηκεν ὁ κόντος τῆς Τζαμπάνας,
1025 Ἐνταῦθα ἐσηκώθηκε μισὺρ Ντζεφρὲς ἐκεῖνος,
Καὶ λέγει τοὺς ἀρχιερεῖς καὶ τοὺς φλαμπουριάρους·
« Ἄρχοντες, ἔσεῖς ἠκούσετε τοῦ αὐθέντου μου τοῦ κόντου
« Ταῖς συμφωνιαῖς καὶ ὁρισμοὺς ὁποῦ μ' ἐπαραδῶκεν.
« Ἐν τούτῳ λέγω πρὸς ἐσᾶς, παρακαλῶ, καὶ ὁρκίζω
1030 « Ἐ τὸν ὅρκον ὁποῦ ἐπήκετε 'ς τὸν κόντον καὶ εἰς ἐμένα,
« Ὡς χριστιανοὶ φοβούμενοι τὸν Θεὸν καὶ τὴν ἀλήθειαν,
« Νὰ εἰπῆτε καὶ νὰ κρίνετε ἔσω εἰς τὸ δίκαιον ἀπάνω.
« Ὡσαύτως γὰρ παρακαλῶ καὶ ἐτοῦτον τὸν Ρουμπέρτον,
« Ὡς εὐγενῆν καὶ αὐθέντην μου, 'ς τὸ δίκαιον νὰ σταθοῦμεν·
1035 « Νὰ κρίνετε τὸ δίκαιον, ὡς πρέπει καὶ ἁρμόζει'.
« Μηδὲν θελήσῃ ὁ αὐθέντης μου, ἄδικον νὰ ποιήσῃ,
« Ἀλλὰ μὲ φόβον τοῦ Θεοῦ μᾶς κρίνετε τοὺς δύο. »

Ce vers manque dans le ms. de Copenhague, et je le rétablis d'après le ms. de Paris.

Ἀκοῦσον ταῦτα ὁ εὐγενὴς ἐκεῖνος ὁ Ῥουμπέρτος,
Εὐθέως ἐσυγκατάβηκε, καὶ εἶπε νὰ τὸ τηρήσουν·
1040 Καὶ ὡς τὸ διακρίνουν καὶ εἰποῦν μὲ τοῦ Θεοῦ τὸν φόβον,
Ἐκεῖνος γὰρ νὰ τὸ δεκτῇ, καὶ νὰ τὸ προσκυνήσῃ.
Ἀκοῦσον τοῦτα οἱ ἀρχιερεῖς, καὶ ὅλοι οἱ καβαλάροι,
Ἐπιάσαν καὶ ἀνεγνώσασιν τὰ ἔγγραφα ἐκεῖνα,
Ἐξ ἀρχῆς γὰρ λεπτομερῶς μὲ προσοχῆς μεγάλης.
1045 Ἐν τούτῳ ἐλογάριαζαν τὸ τέρμενον τοῦ χρόνου·
Καὶ ἤὗραν, ὅτι ἐπέρασε ἡμέραις δεκαπέντε
Τὸ τέρμενον ἐτύχενεν νὰ σώσῃ ὁ Ῥουμπέρτος,
Νὰ παραδώσῃ τὰ ἔγγραφα τοῦ κόντου τῆς Τζαμπάνιας
Τοῦ μπαΐλου τοῦ μισὺρ Ντζεφρὲ, τὸν τόπον νὰ τοῦ δώσῃ.
1050 Ἐνταῦθα ἐκράξασιν τοὺς δυὸ, καὶ λέγουν πρὸς ἐκείνους·
« Ἄρχοντες, ἡμεῖς εὑρίσκομεν εἰς τὰ ἔγγραφα τοῦ κόντου,
« Ὁποῦ ἔπηκε ταῖς συμφωνιαῖς ὁποῦ εἴδαμεν ἐνταῦθα,
« Σ' ταῖς ὁποιαις ἔνι ἡ βούλλα του καὶ ἐμᾶς ὅλων μετ' αὐτον,
« Τὸ πῶς μὲ τρόπον καὶ ἀφορμὴν καὶ συμφωνιαῖς μεγάλαις
1055 « Ἄφηκε τὸν μισὺρ Ντζεφρὲν δίκαιον του ἐδῶ εἰς τὸν τόπον·
« [Λοιπὸν ἀφῶν μὲ συμφωνιαῖς τοῦ ἄφηκεν τὸν τόπον],
« Καὶ ἐπέρασε τὸ τέρμενον, ἐσὺ δίκαιον οὐκ ἔχεις·
« Ἐπειδὴ ἔνθα εἶναι οἱ χριστιανοὶ 'ς ὅλην τὴν οἰκουμένην,
« Τὸν νόμον καὶ ταῖς ἀγωγαῖς ἡ συμφωνιαῖς ταῖς κλειοῦσιν. »
1060 Ἐνταῦθα γὰρ ὡς τὸ ἤκουσεν ἐκεῖνος ὁ Ῥουμπέρτος,
Ἀπὸ τῆς θλίψεως καὶ πικρίας ὁποῦ εἶχεν ἡ καρδιά του,
Οὐδὲ ἠμπόρεσε ποσῶς ἀπόκρισιν νὰ στρέψῃ.
Ἐκεῖνος δὲ ὁ μισὺρ Ντζεφρὲς ὁλόρθα ἐσηκώθη·
Μὲ προσοχὴν πραότητα ὅλους εὐχαριστᾷ τους,
1065 Ὡς τὸ ἔχη γὰρ τὸ συνήθος τῶν σὺθεντῶν ἡ κούρταις
Νὰ εὐχαριστοῦσιν ἐκεῖνους ὁποῦ τὸ δίκαιον κρίνουν.
Ἀφῶν ἡ κρίσις ἐδόθηκεν καὶ ἡ ἀπόφασις ὁμοίως

Νὰ μείνῃ τοῦ μισὺρ Ντζεφρὲ ἡ αὐθεντεία τοῦ τόπου
Ὅλης τῆς Πελοπόννησος[1], τὸν λέγουσι Μωραΐαν,
1070 Τιμὴν μεγάλην ἔπηκεν ἐκείνου τοῦ Ῥουμπέρτου,
Καὶ εἶπεν οὕτως πρὸς αὐτόν· « Αὐθέντη, ἀδελφέ μου,
« Πρόσεχε· μὴ τὸ βαρεθῇς τὸ ἔδωκεν ἡ κρίσις·
« Ὅτι τὸ δίκαιον τὸ ἀπαιτεῖ οὕτως τὸ ἔχει ὁ κόσμος.
« Ἂν θέλῃς γὰρ καὶ προθυμῇς, μετ' ἐμοῦ νὰ ἐνεμείνῃς
1075 « Ἐδῶ εἰς τὸν τόπον τοῦ Μωραιὼς, νὰ σ' ἔχω ὡς ἀδελφόν μου,
« Καὶ ὅσον κερδίσωμεν ἐν ὁμοῦ, νὰ ἐπέρνῃς τὸ σὲ πρέπει. »
Καὶ ἐκεῖνος ἀπὸ θλίψεως του οὐδὲν τὸ ἐκατεδέχθη·
Ἐνταῦθα ὁ μισὺρ Ντζεφρὲς καλεσμα μέγα ἐπῆκε,
Καὶ ἐκάλεσε ἅπαντας, μικρούς τε καὶ μεγάλους·
1080 [Καὶ χαμοτζούκην ἐποίηκεν, τὸ λέγουν οἱ Ῥωμαῖοι]
Καὶ ἐφάγασιν, καὶ ἐχάρησαν, ἐξυλοκονδαρίσαν[2],
Χορούς, παιγνίδια ἔπηκεν, ἀριφνισμὸν οὐκ εἶχεν.
Ἐκεῖνος γὰρ ὁποῦ λαλῶ, Ῥουμπέρτος ντὲ Τζαμπάνιας,
Ἔκραξε τὸν μισὺρ Ντζεφρὲν, καὶ λέγει πρὸς ἐκεῖνον·
1085 « Ἀφότου ἐγὼ ἀποεῖδα το τὴν αὐθεντείαν οὐκ ἔχω,
« Δός με ἄλογα καὶ συντροφίαν, τοῦ νὰ ἔχω ὑπαγένει. »
Ὡσαύτως γὰρ ἐζήτησεν ὅλων τῶν κεφαλάδων,
Ὁποῦ ἦσαν τῶν ἀρχιερέων καὶ χρήσιμων ἀνθρώπων
Εἰς τὴν βουλὴν καὶ ἀπόφασιν καὶ κρίσιν ὁποῦ ἐπῆκαν,
1090 Χαρτὶ νὰ τοῦ ποιήσωσι, νὰ τὸ ἔχουσιν βουλλώσει,
Τὸ πῶς ἐκρίναν καὶ εἴπασι τὴν κρίσιν ὁποῦ ἐδώκαν·
Εἶθ' οὕτως καὶ τὸ ἀντίγραμμα τῆς συμφωνιᾶς ἐκείνης,
Ὁποῦ ἦτον ποιήσοντα ἐνομοῦ ὁ κόντος τῆς Τζαμπάνιας
Μετὰ τὸν εὐγενέστατον μισὺρ Ντζεφρὲν ἐκεῖνον,

[1] Le ms. de Copenhague dit: Πολυπόννεσος.
[2] Cet usage est emprunté aux Francs.

1095 Νὰ τὰ βαστένῃ μετ' αὐτὸν ἐκεῖσε εἰς τὴν Φραγκίαν,
Διὰ νὰ τὸ δείξῃ τοῦ ῥηγὸς καὶ ὅλων τῶν κεφαλάδων,
Ὁποῦ ἦσαν τότε εἰς τὴν Φραγκιὰν, τοῦ κόντου τῆς Τζαμπάνιας,
Διὰ νὰ μηδὲν τὸν δέξωνται χωρικὸν τῆς ὑποθέσεως.
Μετὰ χαρᾶς τὰ ἐπήκασιν, καὶ ὅλοι τὰ ἐδουλλῶσαν.
1100 Ἀπαύτου γὰρ τοῦ ἔδωκε μισὺρ Ντζεφρὲς ἐκεῖνος
Δωρήματα, χαρίσματα διαφορικὰ καὶ πλεῖστα.
Δουλητικὰ καὶ φρόνιμα ὑπόσχεσαις τοῦ ἐπῆκε,
Νὰ τὸν ὁρίζῃ πάντοτε, νὰ ἴνῃ ἐδικός του.
Καὶ ἐκ τούτου τὸν ὡδήγευσε, καὶ συντροφιὰν τοῦ ἐπῆκεν·
1105 Ἀτός του ἐδιάβη μετ' αὐτὸν μέχρι εἰς τὴν Ἀνδραβίδα·
Καὶ ἀπέκει ἐβάλθη εἰς τὸ κάτεργον, καὶ ἐδιάβη εἰς τὴν Φραγκίαν.
Καὶ ἀφότου γὰρ ἐμίσεψεν ἐκεῖνος ὁ Ρουμπέρτος
Ἐκ τὸν Μωραίαν, καὶ ἐνέμεινε ὁ μισὺρ Ντζεφρὲς αὐθέντης,
Ὥρισε νὰ τὸν κράζουσιν αὐθέντην τοῦ Μωραίως.
1110 Τοὺς τόπους του καὶ ὑπόθεσαις, ὁποῦ εἶχε νὰ διορθόνῃ,
Ἀλλέως ταῖς ἐκατέσταινεν, ὡς φυσικὸς αὐθέντης.
Ἐκοπίαζε καὶ ἐδιαίζετον πάντοτε νὰ ταῖς αὐξαίνῃ.
Λοιπὸν ὡς ἔνι φυσικὸν οἱ πάντες ν' ἀποθνήσκουν,
Ἦλθε κ' ἐκείνου ὁ καιρὸς ν' ἀπέλθῃ ἐκ τὸν κόσμον.
1115 Κράζει τοὺς κεφαλάδες του, τοὺς ἐπισκόπους ὅλους·
Ἐποίησε διάταν φοβερὴν, ὡς φρόνιμος ὁποῦ ἦτον.
Τὰ πάντα του ὅλα ἐδιόρθωσε, ἔγραψεν καὶ ἐδούλλωσέ τα.
Εἶχε γὰρ υἱοὺς δύο, τὸν πρῶτον ὠνομάζαν,
Μισὺρ Ντζεφρὲ τὸν ἔλεγαν, τ' ὄνομα τοῦ πατρός του·
1120 Τὸν δεύτερον ἐκράζασιν Γυλιάμον τὸν ἐλέγαν·
Ἐλέγασιν τὸ ἐπίκλην τοῦ Γυλιάμος[1] ντὲ Καλομάτα[2].

[1] Voy. l'Index onomastique.

[2] Le ms. de Paris dit :

Ὅτι ἐγεννήθηκεν ἐκεῖ ἐν κάστρῳ Καλαμάτας.

Αὐθέντην γὰρ τὸν ἄφηκε κάστρον τῆς Καλομάτας
Μετὰ τῆς ὅλης περιοχῆς τοῦ καστελλανικίου,
Διατὶ ἦτον ἐκεῖνο τὸ ἴδιον τῆς γονικῆς κουγκέστας[1].
1125 Ὥρισε, μὲ προφώνησιν γλυκειὰν τοὺς παραγγέλλει
Τοὺς κεφαλάδες καὶ ἀρχιερεῖς, ὅλους τοὺς καβαλλαρίους,
Νὰ ἔχουσι τὸν μισὺρ Ντζεφρὲ αὐθέντην κληρονόμον,
Καὶ νὰ θυμοῦνται πάντοτε τὴν πολιτειὰν ὁποῦ εἶχε,
[Τὸν κόπον ὁποῦ ἐκοπίασεν νὰ κερδεθῇ ὁ Μωραίας,]
1130 Τὸ σπλάγχνος, ἀνθροποφιλίαν ὁποῦ εἶχεν εἰς τοὺς πάντας·
Καὶ ὅσον ἐπεκατέστησεν ἐτοῦτα καὶ ἄλλα πλεῖστα,
Ἐμεταστάθη ὡς χριστιανὸς (ὁ Θεὸς νὰ τὸν συγχωρήσῃ).
Καὶ ὅσον ἐμεταστάθηκεν καθὼς σᾶς τὸ ἀφηγοῦμαι,
Θρῆνος ἐγείνετον πολὺς εἰς ὅλον τὸν Μωραίαν,
1135 Διατὶ τὸν εἶχαν ἀκριβὸν, πολλὰ τὸν ἠγαποῦσαν
Διὰ τὴν καλήν του αὐθεντειὰν, τὴν φρόνησιν ὁποῦ εἶχε.
Καὶ ἀφότου τὸν ἐκήδευσαν, καὶ ἐπρᾴυνν ἡ θλίψις,
Ὅλοι βουλὴν ἐπήρασι, μικροί τε καὶ μεγάλοι,
Καὶ ἐστέψασιν δι' αὐθέντην τους μισὺρ Ντζεφρὲ τὸν νέον.
1140 Καὶ ὅσον ἐπαράλαβε τῆς αὐθεντειᾶς τὴν δόξαν,
Ἄρξετον νὰ πορεύεται ὡς φρόνιμος στρατιώτης·
Πολλὰ ἦτον προθυμώτατος, φιλάνθρωπος εἰς ὅλους,
Εἰς σφόδρα γὰρ ἐσπούδαζε ν' αὐξένῃ τὴν τιμήν του.
Ἐν τούτῳ ἦλθε ὑπόθεσις (αὐκράζου νὰ σὲ λέγω),
1145 Ὅτι ὁ Ῥουμπέρτος[2], βασιλεὺς τῆς Κωνσταντίνου πόλης,
Ὁποῦ ἦτον ἐτότε εἰς τὴν Ῥωμανιὰν αὐθέντης βασιλέας,
Συνθήκας καὶ συμβίβασες, τρόπον συμπεθερίας
Ἔπηκε μὲ τὸν ῥόη Ῥαγκοῦ[3], ῥήγαν τῆς Κατελωνίας,

[1] Voy. le Glossaire.
[2] Pierre de Courtenai, non Robert qui était son fils.
[3] Aragon. Voy. l'Index géographique.

Νὰ ἐπάρῃ εἰς γυναῖκαν του τοῦ βασιλεὼς θυγάτηρ.
1150 'Σ κάτεργα δυὸ τὴν ἔθεκεν μετὰ τιμῆς μεγάλης.
Καβαλλαροὶ καὶ ἄρχοντες μὲ ταύτην ὑπαγέναν.
Ἐκεῖ ἦλθαν καὶ ἀποσκάλωσαν 'ς τοῦ Ποντικοῦ[1] τὸ κάστρον,
Ὁποῦ εἶναι γὰρ εἰς τὸν Μωραιὰν, σιμὰ 'ς τὴν Ἀνδραβίδα.
Καὶ ὡς ἂν ἦτον τὸ ἐριζικὸν, καὶ ἔμελλέ του τὸ πρᾶγμα,
1155 Εὑρέθη ὁ μισὺρ Ντζεφρὲς, ὁ αὐθέντης τοῦ Μωραίως,
Ἐκεῖ πλησιὸν, τὸ λέγουσι χώραν τοῦ Βλιζιρίου[2].
Σπουδαίως μαντάτα τοῦ ἤφεραν ἐκεῖσε εἰς τὸ κάστρον,
[Τοῦ Ποντικοῦ τὸ λέγουσιν, οὕτως γὰρ τὸ ὀνομάζουν]
Τὸ πῶς ἀπεσκαλώσασι κάτεργα δυὸ ἐκεῖσε
1160 Εἰς τὸν λιμένα Ποντικοῦ, καθὼς τὸ ἀφηγοῦμαι[3],
Ὁποῦ βαστοῦν τοῦ βασιλεὼς ἐκείνου τοῦ Ρουμπέρτου
Τὴν θυγατὲρ, καὶ ὑπαγένουσιν εἰς τὸν ῥήγα Κατελόνιας[4].
Τὸ ἠκούσετο ὁ μισὺρ Ντζεφρὲς, σπουδαίως ἐκεῖσε ἀπῆλθε.
Πεζεύγει ἀπὸ τὸ ἄλογον, 'ς τὸ κάτεργον ἐσέβη,
1165 Καὶ χαιρετᾷ τοῦ βασιλεὼς ἐκείνου τὴν θυγατέρα.
Παρακαλεῖ καὶ ἀξιόνει την 'ς τὴν γῆν νὰ ἔχῃ πεζεύσει,
Καὶ νὰ σεβῇ εἰς τὸ κάστρον του, νὰ παραδιαβάσῃ,
Ν' ἀναπαυθῇ ἡμέραις δυὸ, καὶ ἀπέκει νὰ ὑπαγένῃ.
Καὶ ἐκείνη ὡς εὐγενικὴ μὲ τὴν βουλὴν ὁποῦ εἶχεν,
1170 Ἐπέζευσε μετὰ χαρᾶς, ἐσέβη εἰς τὸ κάστρον.
Ἐκείνη ἡμέρα ἐπέρασεν, καὶ ἄλλη ἐξημερόνει·

[1] Appelé Beau-Voir dans le Livre de la Conqueste. Voy. l'Index géographique.

[2] Appelé la Glisière dans le Livre de la Conqueste. Voy. le Gloss. géographique.

[3] Ce vers ne se trouve pas dans le ms. de Copenhague, mais il est dans celui de Paris.

[4] Voy. l'Index géographique.

Τινὲς ἀπὸ τοὺς ἰδίους του καὶ συμβουλάτοράς του
Λέγουσι τὸν μισὺρ Ντζεφρὲν, καὶ συμβουλεύουν τον·
« Αὐθέντη, ἐσὺ εὑρίσκεσαι ἐδῶ εἰς τὴν Ρωμανίαν,
1175 « Καὶ ἔχεις τὸν τόπον τοῦ Μωραιώς, ὁποῦ τὸν αὐθεντεύεις·
« Καὶ ἂν οὐ ποιήσῃς τέκνον σου νὰ τὸν κληρονομήσῃ,
« Τί σ' ὠφελοῦν τὰ πράγματα, καὶ τὶ τὰ ἀγωνιέσαι;
« Ἐδῶ πούπετε οὐκ εὑρίσκεται γυναῖκα ὡς διὰ ἐσένα.
« Καὶ ἀφότου ἐπρόσταξε ὁ Θεὸς, καὶ ἀπέστειλέν την ὧδε,
1180 « [Ἐτούτη ὁποῦ εὑρίσκεται τοῦ βασιλέως θυγάτηρ,]
« Ἔπαρε καὶ εὐλογήσου την, καὶ ποιῆσε την κυρά μας.
« Καὶ ὁ βασιλεὺς ὁ κύρης της, πολλάκις καὶ ἂν χολιάσῃ.
« Καὶ βαρεθῇ το τίποτε, πάλαι νὰ τὸ ἀγαπήσῃ. »
Τόσαν τὸν ἀναγκάσασι, καὶ τόσαν τὸν ἐδιάσαν,
1185 Κράζει τοὺς φρονιμότερους, ὁποῦ εἶχε μετ ἐκεῖνον·
Βουλὴν ἐζήτησεν ὁλῶν νὰ τοῦ τὴν ἔχουν δώσει.
Καὶ ὅλοι ἀμφοτέρως εἴπασι, καὶ ἐσυμβούλευσάν τον·
« Ἀφέντη μας, ἀρέσει μας· καὶ ποιῆσε το ἀκωλύτως. »
Ὁ ἐπίσκοπος τῆς Ἅλενας[1] ἐδάσταξε τὸν λόγον,
1190 Καὶ ἐσύντυχε τοῦ βασιλέως ἐκείνην τὴν θυγάτηρ,
Νὰ ἐπάρῃ τὸν μισὺρ Ντζεφρὲν ἀνὴρ καὶ σύμβιόν της.
Πολλοὺς τρόπους τῆς ἔδειξε φρόνιμους, ἐπιδέξιους,
Τὸ πῶς ἐδάλει νὰ γενῇ ἡ συμπεθεριὰ ἐκείνη
Κάλλιον 'ς τὸν αὐθέντην τους παρὰ 'ς τὸν ῥήγαν ἐκεῖνον,
1195 Ὁποῦ τὴν ὑπαγένασιν ἐκεῖ εἰς τὴν Κατελύνιαν.
Τί νὰ σὲ λέγω τὰ πολλὰ, ἀλάχη νὰ βαριέσαι;
Τόσα τῆς εἴπασι πολλὰ, τόσον τὴν ἀναγκάσαν,
Ὅτι ἐσυγκατέθηκε, καὶ ἐγείνετον ὁ γάμος.
Καὶ ἀφότου γὰρ εὐλογήθησαν, καὶ ἐποίησαν τὴν χαράν τους,

[1] Voy. l'Index géographique.

1200 Τὰ κάτεργα τοῦ βασιλεὼς ἐστράφησαν εἰς τὴν Πόλιν.
Λεπτομερῶς του εἴπασιν οἱ καβαλλάροι ἐκεῖνοι
[Ὁποῦ ἦσαν μέσα εἰς αὐτὸ, τὸ πρᾶγμα ὁποῦ ἐγίνη'.]
Καὶ ὁ βασιλεὺς τὸ ἠκοῦσεν, μεγάλως ἐβαρέθη.
Ἂν εἶχε γὰρ τὴν δύναμιν, νὰ τοῦ ἔπευθεν ἐπιδέξιον,
1205 Δείξει το ἤθελε καλὰ τοῦ μισὺρ Ντζεφρὲ ἐκείνου,
Τὸ πῶς τὸ ἔπτηκεν ἄσχημον καὶ χωριατιὰν μεγάλην,
Τὴν θυγατέρα του νὰ εὐλογηθῇ ἄνευ θελήματός του·
Ἐπειδὴ γὰρ τὸν ἐμπόδισε 'ς ἐκεῖνο ὁποῦ ἐσκόπα,
Νὰ ποιήσῃ τὴν συμπεθεριὰν καὶ ταῖς συμβιβασαίς του
1210 Μετὰ τὸν ῥόη Ῥαγοῦν, καὶ νὰ ἔχῃ πάλαι ἀπ' αὐτὸν
Λαὸν, φουσάτα, συμμαχίαν εἰς τὴν μάχην τῶν Ῥωμαίων·
Καὶ ἐδάρτε τὸν ἐμπόδισε, καὶ εὑρέθη ἀπεργωμένος.
Ἐκεῖνος γὰρ ὁ μισὺρ Ντζεφρὲς, αὐθέντης τοῦ Μωραίως,
Ὡς φρόνιμος, διακριτικὸς, παιδευτικὸς ὁποῦ ἦτον,
1215 Οὐδὲν ἐπῆκεν ἄργητα διὰ νὰ πολημερήσῃ·
Σπουδαίως πιττάκια ἔγραψε, μαντατοφόρους στέλνει
Ἐκεῖσε εἰς τὸν βασιλεὰν ὁποῦ ἦτον εἰς τὴν Πόλιν·
[Παρακαλεῖ καὶ ἀξιώνει τον νὰ τοῦ ἔχει συμπαθήσει]
'Σ ἐκεῖνο ὁποῦ ἔπτηκε, καὶ ἐγείνετον παιδί του·
1220 Οὐδὲν τὸ ἔπτηκε εἰς κακὸν, οὔτε εἰς ἀλάζονείαν,
Ἀλλ' ἔπτηκε εἰς ὄρεξιν το καὶ καλωνὴν μεγάλην,
Ὡς ἄνθρωπος ὁποῦ εὑρίσκεται ἐντὸς τῆς Ῥωμανίας,
Μακρέα ἐκ τὸ γενολόγην του καὶ ἐκ τὸ ἡγονικόν του,
Καὶ οὐκ ηὕρεσκεν οὐδὲ ποσῶς γυναῖκα νὰ ἔχῃ ἐπάρει,
1225 Ὡς τοῦ ἔπρεπε, καὶ ἐτύχενεν πρὸς τὴν οὐσιὰν ὁποῦ εἶχε·
Θεωρῶντα γὰρ καὶ εὐβλέποντα, τὸ πῶς καὶ ἐκεῖνος ἦτον

[1] Le ms. de Paris dit :
Τὸ πρᾶγμα, τὴν ὑπόθεσιν, καθὼς ἐκαταστάθη.

Ἀπέσω εἰς τὴν Ῥωμανιάν, καὶ εἶχε μεγάλαις μάχαις
Μετὰ τὸ γένος τῶν Ῥωμαιῶν, ὡσὰν καὶ ὁ βασιλέας,
Καὶ οὐκ εἶχε αὐθέντην προεστὸν, ἀπάνω του νὰ ὁρίζῃ·
1230 Μὲ τὸ σπαθί του ἐκέρδισε τὸν τόπον ὁποῦ ἐκράτειε·
Λοιπὸν νὰ θέλῃ ὁ βασιλέας τοῦτο νὰ τοῦ ἔχῃ ποιήσει,
Εἰς τρόπον τῆς ἀνταμοιβῆς τὸ πρᾶγμα ὁποῦ ἐπῆκε,
Καὶ ἐπῆρε τὴν θυγάτηρ του ὁμόζυγον γυναῖκα,
Λίζιος[1] του γὰρ νὰ δουλωθῇ, καὶ νὰ κρατῇ ἀπὸ ἐκεῖνον
1235 Τὸν τόπον καὶ τὴν αὐθεντειὰν ὁποῦ εἶχε τοῦ Μωραίως·
Καὶ ἂν χρήζῃ τὰ φουσάτα του, ὁμοίως καὶ τὸ κορμίν του,
Ὅταν ὁρίσῃ, καὶ χρειασθῇ, νὰ ἦναι εἰς ὁρισμόν του·
Καὶ νὰ ἦναι μετ' αὐτὸν ἐν ὁμοῦ, καὶ νὰ κρατοῦν τὴν μάχην,
Νὰ κουγκεστίζουν[2] τοὺς Ῥωμαιοὺς μὲ τὰ φουσάτα ὁποῦ ἔχουν.
1240 Ἀκοῦσον ταῦτα ὁ βασιλεὺς ἐκεῖνος ὁ Ῥουμπέρτος[3],
Οὐδὲν ἠθέλησε ποσῶς ἀπόκρισιν νὰ στρέψῃ,
Ἕως οὗ νὰ ἔχῃ τὴν βουλὴν μετὰ τοὺς ἐδικούς του.
Κράζει τοὺς κεφαλάδες του, τοὺς πρώτους τῆς βουλῆς του·
Λεπτῶς τοὺς ἀφηγήσατο, καὶ τὰς γραφὰς τοὺς δείχνει,
1245 Τὸ τί τὸν ἐμηνᾷ ὁ μισὺρ Ντζεφρὲς, ἐκεῖνος τοῦ Μωραίως.
Πολλὰ γὰρ ἐσυντύχασι, τὴν πρᾶξιν ἐσιδῆραν
Οἱ κεφαλάδες ἐνομοῦ μετὰ τὸν βασιλέα.
Ἐνταῦθα οἱ φρονιμώτεροι εἶπαν καὶ συμβουλεῦσαν,
Ὅτι ἀφότου λέγει, ὑπόσχεται ὁ αὐθέντης τοῦ Μωραίως
1250 Νὰ γένῃ λίζιος ἄνθρωπος τοῦ βασιλέως τῆς Πόλης,
Τὸν τόπον του νὰ ὑποκρατῇ ἀπὸ τὸν βασιλέα,
Νὰ ἐσμίξουν μὲ τὸν βασιλέα, ὁμοῦ νὰ πολεμοῦσιν

[1] Voy. le Glossaire.
[2] Voy. le Glossaire.
[3] C'était Pierre qui était père d'Agnès, femme de Geoffroi.

Ὅλους τοὺς ἀντιδίκους τους, ἔνθα καὶ ἂν τοὺς εὕρωσι,
Ἀρκεῖ καὶ σώζει νὰ γενῇ εἰρήνη καὶ φιλία
1255 Ἀνάμεσα γὰρ εἰς τοὺς δυὸ αὐθένταις τῆς Ῥωμανίας,
Ἐπειδὴ ἦτον ἐπιδεξιώτερον αὐτὴ ἡ συμπεθερία,
Παρὰ εἰς τὸν ῥήγαν ντὲ Ῥαγοῦν ὁποῦ εἶναι οὕτως μακρέα·
Ἀφότου γὰρ δουλόνεται καὶ πρὸς τὸν βασιλέα
Τὸν τόπον ὁποῦ ἐκέρδισε, νὰ τὸν κρατῇ ἀπ' αὔτον,
1260 Ἐνταῦθα νὰ γένῃ ἡ ἀπόκριδις πρὸς τὸν μισὺρ Ντζεφρόε,
Ὅτι νὰ σμίξουν εἰς τὴν Βλαχιὰν, ἕνωσιν νὰ ποιήσουν,
[Καὶ ἐκεῖ νὰ κατορθώσουσιν τὰ ἔχουν νὰ διορθώσουν].
Ἐνταῦθα ἦλθε ὁ βασιλεὺς εἰς τὸ κάστρο τῆς Λαρίσσου·
Καὶ ἐκεῖνος ὁ μισὺρ Ντζεφρὲς, ὁ αὐθέντης τοῦ Μωραίως,
1265 Ἀπὸ τὴν Θήβαν ἐδιέβηκε, καὶ ἐπῆρε καὶ μετ' αὔτον
Ἐκεῖνον ὁποῦ αὐθέντευεν ἐτότε τὴν Ἀθήναν,
(Μέγαν κύρην τὸν ἔλεγαν, ἀπ' αὔτου γὰρ ἐκράτειε
Τὸν τόπον καὶ τὴν αὐθεντειὰν ὁποῦ εἶχε εἰς τὴν Ῥωμανίαν.)
[Καὶ ὅλους τοὺς φλαμουραρίους ὁποῦ ἦσαν εἰς τὸν Μωραίσν.
1270 Ὅλοι μετ' αὐτὸν ἐδιάβησαν ἐκεῖσε εἰς τὴν Βλαχίαν.]
Εἰς τὴν Λάρισσον ἐνώθησαν μετὰ τὸν βασιλέα.
Χαραῖς μεγάλαις ἔπηκαν ἀφότου γὰρ ἐσμίξαν·
Καὶ μετ' ἐκείναις ταῖς χαραῖς ἀμφότεροι ἐσυντύχαν,
Καὶ εἶπαν καὶ ἐδιόρθωσαν ἐτοῦτο ὁποῦ σὲ γράφω·
1275 Πρῶτα τοῦ ἔδωκεν ὁ βασιλεὺς διὰ δωρεὰν καὶ προίκια
Ὅλην τὴν Δωδεκάννησον, νὰ τὴν κρατῇ ἀπ' αὔτον·
Δεύτερον τὸν ἐτίμησε πρίγκιπα νὰ τὸν λέγουν·
Τρίτον μέγαν Δεμέστικον[1] ὅλης τῆς Ῥωμανίας·
Καὶ τέταρτον νὰ πολεμῇ 'ς τὸν τόπον ὅπου ἐκράτειε·
1280 Τὸ χαραγειὸν τῶν ταυρνεσιῶν, ὁμοίως τῶν δηναρίων.

[1] Voy. le Glossaire.

[Ἄνθρωπος λίζιος ἐγίνετον τοῦ βασιλέως ἐνταῦθα,]
Τὸν τόπον, ὅπου αὐθέντευε, νὰ τὸν κρατῇ ἀπ' ἐκεῖνον.
Καὶ ἀπαύτου γὰρ τοῦ ἔδωκεν ἐγγράφου τὰ συνήθια,
[Τὰ ἐκράτει ἐτότε ὁ βασιλέας εἰς ὅλον του τὸ βασίλειον.]
1285 Ἐν ᾧ τὰ ἤτον ἐπάροντα ἐκεῖνος ὁ ἀδελφός του,
Ὁ Βαλδουβίνος, ὁ βασιλεὺς τὰ τῶν Ἱεροσολύμων.
Καὶ ἀφότου ἀποκατέστησεν αὐτὰ, ὁποῦ σὲ λέγω,
Ἀπαιλογιὰν ἐπήρασιν ὁ εἷς ἀπὸ τὸν ἄλλον.
Ὁ βασιλεὺς ἐδιέβηκεν ὁλόρθα εἰς τὴν Πόλιν·
1290 Καὶ ὁ μισὺρ Ντζεφρὲς ἐστράφηκεν ὀπίσω εἰς τὸν Μωραΐαν
Μὲ δόξαν τε καὶ περιχαρίαν, διὰ τὸ ἔπηκεν ἀγάπην
Τὴν ὡρέγετο καὶ ἤθελε, καὶ τὴν πολλὰ ἐπεθύμα.
Καὶ ἀφότου ἦλθεν εἰς τὸν Μωραιὰν ὁ πρίγκιπας Ντζεφρόες,
Καὶ ἔμαθεν ὁ ἐξαίρετος ἐκείνη ἡ γυνὴ του,
1295 Πριγκίπισσα τῆς Ἀχαϊᾶς, τοῦ βασιλεὼς θυγάτηρ,
Τὸ πῶς ἰσιάσθη ὁ πρίγκιπας μετὰ τὸν βασιλέα,
Πρῶτα τὸν Θεὸν ἐδόξασε, χαρὰν μεγάλην ἐπῆκεν.
Ἐνταῦθα γὰρ ὁ πρίγκιπας, μισὺρ Ντζεφρὲς ἐκεῖνος
Κράζει τοὺς κεφαλάδαις του, βουλὴν νὰ τοῦ ἔχουν δώσει,
1300 Τὸ πῶς νὰ διάξῃ καὶ γενῇ ἀπὸ τὰ κάστρη ἐκεῖνα,
Ὁποῦ ἐκρατοῦσαν οἱ Ῥωμαῖοι ἀκόμη εἰς τὸ πριγκιπάτον,
Ἤγουν τὴν Κόρινθον καὶ Μονοβασίαν, τὸ Ἄργος καὶ τ' Ἀνάπλι.
Ἐν τούτῳ τοῦ ἀπεκρίθησαν οἱ πρῶτοι τῆς βουλῆς του·
« Ἐσὺ ἠξεύρεις, αὐθέντη μας, ὅτι ἡ ἐκκλησιαῖς κρατοῦσι
1305 « Σιμὰ τὸ τρίτον τοῦ Μωραΐως, ὅλου τοῦ πριγκιπάτον·
« Κάθονται καὶ ἀναπαύονται, τίποτε οὐ ψηφοῦσιν
« Τὴν μάχην, ὁποῦ ἔχομεν ἐμεῖς μὲ τοὺς Ῥωμαίους.
« Λοιπὸν, αὐθέντη, λέγομεν καὶ συμβουλεύομέ σε,
« Νὰ τοὺς καλέσῃς, μὲ ἄρματα νὰ ἔλθουν νὰ μᾶς βοηθήσουν,

1510 « Τὰ κάστρη, ὁποῦ μᾶς μάχονται, νὰ τὰ 'χομεν κερδίσει[1].
« Ἤτε καὶ οὐδὲν τὸ ποιήσουσιν, κράτησον ταῖς προνοιαῖς τους. »
Καὶ ὁ πρίγκιπας, ὡς τὸ ἤκουσε, μεγάλως τὸ ἀποδέκτη.
Ὥρισεν καὶ ἐκαλέσαν τους, καὶ ἀπήλθασιν ἐνταῦθα.
Ἐζήτησέ τους συμμαχιὰν, ὅλοι νὰ τοῦ βοηθήσουν,
1515 « Τὰ κάστρη, ὁποῦ μᾶς μάχονται, νὰ τὰ 'χομεν κερδίσει, »
Λαὸν, φουσάτα μὲ ἅρματα, τὸν τόπον νὰ φυλάξῃ,
Τὸ κάστρον τῆς Μονοβασιᾶς νὰ τὸ ἔχῃ πολεμήσει.
Καὶ ἐκεῖνοι τοῦ ἀπεκρίθησαν, ὅτι οὐδὲν τοῦ ἐχρωστοῦσαν,
Μόνον τιμὴν, προσκύνησιν ὡς πρίγκιπα ὁποῦ ἦτον·
1520 Ἐπὴν τὰ εἶχαν καὶ κρατοῦν, ἀπὸ τὸν Πάπαν τὰ εἶχαν.
Ὁ πρίγκιπας ἐχολίασεν, ὥρισεν καὶ ἐκρατῆσαν
Ὅλους τοὺς τόπους, καὶ προνοιαῖς, ἔνθα ταῖς ἐκρατοῦσαν·
Καὶ οὐδὲν ἠθέλησε ποσῶς τίποτε γὰρ νὰ ἐπάρῃ
Ἀπὸ τὰ δίκαια τῶν προνοιῶν ὅλων τῶν ἐκκλησίων,
1525 Ἀλλ' ὥρισε καὶ ἀρχίσασι νὰ κτίζουν τὸ Χλουμοῦτζι[2].
Καὶ οἱ ἐπίσκοποι ἀφώριζαν τὸν πρίγκιπα ἀεννάως.
Τρεῖς χρόνους γὰρ ἐκράτησεν ὁ πρίγκιπας τοὺς τόπους
Τοῦ πριγκιπάτου σὲ λαλῶ, ὅλων τῶν ἐκκλησίων,
Ἕως οὗ καὶ ἀποπλήρωσε τὸ κάστρον τὸ Χλουμοῦτζι.
1530 Καὶ ἀεννάως τὸν ἀφωρίζασιν καὶ πάντας τοῦ πριγκιπάτου.
Καὶ ἀφότου τὸ ἀποπλήρωσεν, ὡς ἤθελε καὶ ἠγάπα,
Φρεμενουρίους ἀπέστειλε καὶ δυὸ καβαλλαρίους
'Σ τὸν Πάπαν τὸν ἁγιώτατον, ἐκεῖσε εἰς τὴν Ῥώμην,
Παραδηλῶντα, λέγοντα, τὸ πῶς εἶναι εἰς τὴν μάχην,
1535 Καὶ μάχεται μὲ τοὺς Ῥωμαίους ἐκεῖ εἰς τὴν Ῥωμανίαν·
'Σ τοῦτο ἐπαρακάλεσε ταῖς ἐκκλησιαῖς ὁποῦ εἶναι

[1] Le ms. de Copenhague répète ici à tort νὰ μᾶς ἔχουν βοηθήσει.
[2] Clair-Mont. Voy. l'Index géographique.

Μητροπολίταις καὶ ἀρχιερεῖς, τὸ Τέμπλον, καὶ Ὁσπιτάλι,
Νὰ τὸν βοηθήσουν κἂν ποσῶς εἰς τὴν μάχην ὁποῦ εἶχεν·
[Καὶ ἐκεῖνοι οὐκ ἠθελήσασιν ποσῶς νὰ τοῦ βοηθήσουν·]
1340 Ἔβαλλεν καὶ ἐκράτησε τοὺς τόπους καὶ προνοίαις,
Ὁποῦ εἶχαν καὶ ἐκρατούσασι εἰς ὅλον τὸ πρίγκιπάτον·
Καὶ οὐδὲν ἠθέλησε τριχὸς τίποτε νὰ ἔχῃ ἐπάρει
Ἀπὸ τὰ τέλη καὶ δουλιαῖς ὅλων τῶν ἐκκλησίων,
Ἀλλὰ ἔβαλε καὶ ἐκτίσασι κάστρον ἀφιρωμένον,
1345 Ὁποῦ φυλάττει τοῦ γιαλοῦ καὶ τοῦ Μωραιὼς λιμιῶνα·
Πολλάκις ἂν ἐχάνασιν οἱ Φράγκοι τὸν Μωραίαν,
Μετὰ τοῦ κάστρου ἐκεινοῦ τὸν ἤθελαν κερδίσειν.
Διὰ τοῦτο παρακαλεῖ τὸν ἁγιώτατον Πάπαν,
Τοῦ νὰ ἔχῃ τὴν ἀγάπην του, καὶ νὰ τοῦ συμπαθήσῃ·
1350 Ἐπὴν ἂν ἐπῆραν οἱ Ῥωμαῖοι τὸν τόπον τοῦ Μωραίως,
Οὐδὲν ἀφίναν κἂν ποσῶς ταῖς ἐκκλησιαῖς τῶν Φράγκων.
Καὶ ὡς τὸ ἐπληροφορέθη ὁ Πάπας ὁ ἁγιώτατος,
Συμπάθειον ἔστειλεν εὐθέως τοῦ πρίγκιπα Ντζεφρόε.
Ἀφότου εἶδεν ὁ πρίγκιπας τοῦ Πάπα τὴν συμπάθειον,
1355 Χαρὰς μεγάλας ἔπηκεν καὶ τὸν Θεὸν δοξάζει.
Ἀπαύτου γὰρ ἐμήνυσε νὰ ἔλθῃ ὁ μητροπολίτης,
Ἐκεῖνος ὁποῦ λέγουσιν ὁ τῆς παλαιᾶς Πάτρας,
Ὡσαύτως καὶ οἱ ἐπίσκοποι ὁποῦ εἶναι τοῦ σκαμνιοῦ του,
Ὁ κομμεντούρης[1] τοῦ Τεμπλιοῦ, ἐκεῖνος τοῦ Ὁσπιταλίου.
1360 Τὸν ὁρισμὸν τοὺς ἔδειξε τοῦ Πάπα, τὴν συμπάθειον·
Καὶ ἐνταῦθα ὥρισε καὶ ἔστρεψαν τοὺς τόπους ὁποῦ ἐκράτει,
Καὶ μετὰ τοῦτο τοὺς λαλεῖ φρόνιμα μετ' εἰρήνης·
« [Πατρές, ἐτοῦτο ὁποῦ ἔπηκα καὶ ἀπῆρα ταῖς προνοιαῖς σας]
« Οὐδὲν σας πταίω, μὰ τὸν Χριστόν· ἐσεῖς τὸ πταίετε πλέον.

[1] Voy. le Glossaire.

1365 « Ἐπεὶ ἔπρεπε νὰ ἠξεύρετε, καὶ νὰ τὸ ἐγροικᾶτε,
« Ὅτι ἂν ἐπῆραν οἱ Ῥωμαιοὶ (ὁ Θεὸς νὰ μὴν τὸ δώσῃ.)
« Τοὺς τόπους ὁποῦ ἔχομεν ἐδῶ εἰς τὴν Ῥωμανίαν,
« Οὐδὲν ἀφήναν γὰρ ἐσᾶς, διατὶ ἴστε τῆς ἐκκλησίας,
« Τοῦ νὰ κρατῆτε ἐδῶ προνοιαῖς, καὶ νὰ ἔχετε προβέντες·
1370 « Ἀλλ' οὕτως σᾶς ἠθέλασι φονεύσει καὶ ἀκληρώσει,
« [Ὡσὰν καὶ ἐμᾶς τοὺς κοσμικοὺς ὁποῦ εἴμεθεν στρατιώταις.]
« Λοιπὸν ἐγὼ οὐδὲν ζητῶ, οὐδὲ μὲ δίκαιον πρέπει,
« Νὰ πολεμῆτε γαρνιζοῦν, ὡσὰν οἱ προνοιατοροι,
« Ἠδὲ εἰς ἄλλαις ἀφορμαῖς, διὰ φύλαξιν τοῦ τόπου.
1375 « Διὰ συμμαχιὰν κάστρου τινὸς, ὁποῦ ἔνι ἀσεντζησμένον
« Ἀπὸ τοὺς ἀντιδίκους μας, πρέπει νὰ μᾶς βοηθῆτε·
« Ὡσαύτως καὶ εἰς φουσάτευμα, ν' ἀπέλθωμεν διὰ κούρσο·
« Καὶ εἰς ἄλλαις γὰρ ὑπόθεσαις, διὰ συμμαχιὰν τοῦ τόπου,
« Πρέπει νὰ εἴμεθεν ἐν ὁμοῦ τὸν τόπον μας φυλάττειν,
1380 « Ἐπὴν ἐσεῖς δίχως ἡμᾶς τίποτε οὐ χρηματεῖτε.
« Ἐγὼ γὰρ ἂν ἐκράτησα τῆς ἐκκλησιᾶς τοὺς τόπους,
« Οὐδὲν ἐπῆρα τίποτε, νὰ λάβω εἰς διάφορόν μου·
« Κάστρον, θεωρεῖτε, ἔπηκα διὰ σωτηριὰν τοῦ τόπου·
« [Διὰ ἐσᾶς καὶ ἐμᾶς τὸ ἔπηκα νὰ ἔνι κλειδὶν τοῦ τόπου·]
1385 « Πολλάκις ἂν ἐχάσαμεν τὸν τόπον τοῦ Μωραίως,
« Ἀπὸ τὸ κάστρον Χλουμουτζιοῦ τὸν θέλομεν κερδίσει.
« Ἐν τούτῳ σᾶς παρακαλῶ ὡς ἐκκλησιᾶς πατέρες,
« Ἃς ἔχω τὴν συμπάθειον σας ὡσὰν καὶ ἀπὸ τὸν Πάπαν,
« Καὶ ἀπὸ τοῦ νῦν καὶ ἔμπροσθεν ἃς ἔχωμεν ὁμοτόνιαν.
1390 « Συντρέχετέ με εἰς ἄρματα, ὡς πρέπει καὶ ἁρμόζει,
« Καὶ ἐγὼ πάλαι νὰ σᾶς βοηθῶ ἀπ' ὅσον κάμνει χρεία. »
Ἐνταῦθα ἐσυμπαθίσθησαν, καὶ ἐποίησαν ἀγάπην·
Καὶ ἐτάξασιν ἀπὸ τοῦ νῦν νὰ ἔνι εἰς θέλημά του.
Ἀφότου γὰρ ἐγείνετον ἐτοῦτο, ὁποῦ σᾶς λέγω,

1395 Ἐκεῖνος ὁ πρίγκιπας Ντζεφρόες οὐδὲν εἶχε τὴν χάριν
Νὰ ποιήσῃ τέκνον τίποτε, ν' ἀφήκῃ κληρονόμον.
Ὡς ἂν ἔνι τὸ φυσικὸν 'ς τὸ γένος τῶν ἀνθρώπων,
Καὶ ὅσοι γεννῶνται ὀφείλουσι θάνατον ν' ἀποθάνουν,
Ἔπεσε γὰρ ὁ πρίγκιπας εἰς ζάλην τοῦ θανάτου.
1400 Καὶ ὡς τὸ εἶδε γὰρ καὶ ἐνόησέ το ὅτι ἀποθάνει θέλει,
Τὸν ἀδελφόν του ἔκραξε, ἐκεῖνον τὸν Γυλιάμον,
Καὶ λέγει οὕτως πρὸς αὐτὸν, φιλοπαρακαλεῖ τον·
« Ἀδέλφι μου γλυκύτατον, ἀδέλφι μου ἀγαπημένον,
« Ἐγὼ ἀπεδάρτε ἐπλήρωσα τὰ ἔτη τῆς ζωῆς μου·
1405 « Καὶ ἐσὺ ἀπομένεις ἀπ' ἐμοῦ αὐθέντης κληρονόμος
« Εἰς ὅσα γὰρ ἐκέρδισεν ὁ αὐθέντης καὶ πατήρ μας
« Μὲ βιὰν καὶ μόχθον δυνατὸν, τὸ ἠξεύρουσιν οἱ πάντες.
« Λοιπὸν, ἀδελφέ μου ἀγαπητὲ, ἐγὼ εἶχα εἰς τὸν νοῦν μου
« Νὰ οἰκοδομήσω ἐκκλησιὰν, νὰ ποιήσω μοναστῆρι,
1410 « Νὰ βάλω τὸ ἅγιον λείψανον τοῦ αὐθέντου τοῦ πατρός μας,
« Καὶ οὐδὲν τό ἐκατευόδωσα ἀπὸ ταῖς ἁμαρτίαις μου.
« Διὰ τοῦτο σὲ παρακαλῶ, ἀξιώνω καὶ φορτώνω,
« Ἀφῶν οὐδὲν ἠμπόρεσα νὰ τὸ κατευοδώσω,
« Ποίησέ το, ἀδελφούτζικε (νὰ ἔχῃς τὴν εὐχήν του
1415 « Ἐκείνου τοῦ πολυπόθητου αὐθέντου καὶ πατρός μας)·
« Καὶ ἂς βάλουσι τὸ λείψανον ἐκεῖσε εἰς τὸ κιβούριν.
« Καὶ ἀπαύτου πάλαι ἂς βάλουσι πλησίον τὸ ἐδικόν μου.
« Καὶ διόρθωσε, καλὲ ἀδελφὲ, νὰ ἔχῃ τὸ μοναστῆρι
« Ψάλταις γὰρ καὶ λειτουργοὺς, νὰ ἔχουν τὴν ζωήν τους,
1420 « Διὰ νὰ μᾶς μνημονεύωσιν εἰς αἰῶνας αἰώνων.
« Καὶ μετὰ τοῦτο, ἀδελφὲ, λέγω καὶ συμβουλεύω
« Νὰ ἐπάρῃς γὰρ γυναῖκα σου νὰ ἔνι ὁμόζυγή σου,
« Ὅπως ποιήσῃς μετ' αὐτῆς τέκνα καὶ κληρονόμους,
« Διὰ νὰ κληρονομήσουσι τὸν κόπον τοῦ πατρός μας. »

1425 Ἀφότου γὰρ ἐδιόρθωσεν ὁ πρίγκιπας Ντζεφρώης
Τὰ πάντα ὅλα ὁποῦ ἔπρεπε, ὡς φρόνιμος διορθώση,
Τὸ πνεῦμα του ἐπαράδωκεν, καὶ ἀπῆραν τὸ οἱ ἀγγέλοι.
[Καὶ ὅσοι τὸ ἀκούετε, λέγετε· ὁ Θεὸς τοῦ συμπαθήση.]
Ἐνταῦθα γὰρ οἱ ἀρχιερεῖς καὶ οἱ φλαμπουριάροι ὅλοι
1430 Ἐστέψασιν διὰ πρίγκιπα ἐκεῖνον τὸν Γυλιάμον,
Τὸν ἀδελφὸν τοῦ πρίγκιπος ἐκείνου τοῦ Ντζεφρόε,
Ὅς τις καὶ γὰρ ἐξέβηκεν ἄνθρωπος ἐπιδέξιος,
Φρόνιμος καὶ κοπιαστὴς εἰς ὅλους τοὺς ἀνθρώπους,
Ὁποῦ νὰ ἐγεννήθηκαν εἰς μέρη Ῥωμανίας·
1435 Καὶ ἦτον καὶ φιλάνθρωπος, οἱ πάντες τὸν ἠγαποῦσαν.
Καὶ ἀφότου ἐπαράλαβε τὴν αὐθεντειὰν τοῦ τόπου,
Εὗρεν ὅτι ἐκρατούσασιν ἀκόμη οἱ Ῥωμαῖοι
Τὸ κάστρον τῆς Μονοβασιᾶς καὶ ἐκεῖνο τῆς Κορίνθου,
Ὡσαύτως καὶ τοῦ Ἀναπλιοῦ ὁποῦ ἔνι πλησίον τοῦ Ἄργου,
1440 Τὰ ὁποῖα κάστρη εἶχασι τοὺς πρώτους γὰρ λιμιῶνας,
Ὁποῦ ἔρχονταν τὰ πλευτικὰ τοῦ βασιλεὼς Ῥωμαίων,
Καὶ ἐφέρνασι σωτάρχησιν καὶ ἀνθρώπους τῶν ἁρμάτων[1].
Ἰδὼν ἐτοῦτο ὁ πρίγκιπας, μεγάλως τὸ ἐθαρύνθη,
Λέγας γὰρ ὅτι, ἐὰν οὐδὲν ἔχῃ τὰ κάστρη ἐκεῖνα,
1445 Οὐδὲν πρέπει νὰ τὸν λαλοῦν πρίγκιπα τοῦ Μωραίως.
Ἐν τούτῳ ἀτός του ἐσκόπησεν, ὡς φρόνιμος ὁποῦ ἦτον,
Καὶ ἐζήτησε καὶ ἄλλων βουλὴν καὶ ἰσιάσθησαν μετ' αὐτοῦ·
Ὅτι ἂν οὐκ ἔχῃ πλευτικὰ τὴν θαλασσαν κρατήσει,
Νὰ μὴ ἔρχεται σωτάρχησις εἰς τὰ εἰρημένα κάστρη,
1450 Ποτὲ οὐ κυριεύσει τα, οὐδὲ κερδίσει τὰ ἔχει.
Μαντατοφόρους ἔστειλε εἰς τὸν δοῦκαν Βενετίας,
Καὶ ἰσιάσθηκεν μὲ τὸ Κουμοῦν[2], εἰς τέτοιαις συμφωνίαις.

[1] Hommes d'armes. Voy. le Glossaire.
[2] La Commune. Voy. le Glossaire.

Τοῦ νὰ τοῦ δώσῃ τὸ Κουμοῦν ἕως ὅτου νὰ κερδίσῃ
Τὸ κάστρον τῆς Μονοβασιᾶς καὶ ἐκεῖνο τοῦ Ἀναπλίου,
1455 Τέσσαρα κάτεργα καλὰ μὲ τὴν ἁρμάτωσίν τους·
Καὶ ἐκεῖνος νὰ δώσῃ τοῦ Κουμοῦν τὸ κάστρον τῆς Κορώνης
Μὲ τὰ χωριὰ καὶ περιοχήν, ὁμοῦ μὲ τὴν Μεθώνην,
Νὰ τὰ ἔχῃ εἰς κληρονομιὰν τὸ Κουμοῦν τῆς Βενετίας·
Καὶ ἀπαυτοῦ γὰρ ἔμπροσθεν, κερδίζοντα τὰ κάστρη,
1460 Νὰ δίδῃ πάντα ἡ Βενετιὰ, διὰ φύλαξιν τοῦ τόπου,
Κάτεργα δύο καὶ μοναχὰ, νὰ ἔχουσι τὸν λαόν τους·
Καὶ ὁ πρίγκιπας νὰ ἐκπληρῇ τὴν ἔξοδόν τους ὅλην,
Τὰ λέγουσι πανάτικα, ἄνευ τῆς ῥόγας μόνης.
Καὶ οὕτως, ὡς ἂν ἐδιόρθωσεν ὁ πρίγκηπας ἐτότε,
1465 Ἐδιώρθωσε τοῦ νὰ γενῇ τὸ σέντζιον[1] τῆς Κορίνθου.
Ἐνταῦθα ὁρίζει, γράφουσιν τῶν Ἀθηνῶν τοῦ αὐθέντου
(Μέγαν κύρην τὸν ἔλεγαν ἐκεῖνον τὸν αὐθέντην),
Ν' ἀπέρχεται εἰς βοήθειαν 'ς τὸ σέντζιον τῆς Κορίνθου.
Ἀπαύτου γὰρ ἔστειλε 'ς τὸν δοῦκα τῆς Νηξίας,
1470 'Σ τοὺς τρεῖς αὐθένταις τοῦ Εὔριπου, καὶ εἰς ὅλους νησίους,
Νὰ ἔλθουν μετὰ δύναμιν καὶ ἅρματα καὶ φουσάτα·
Καὶ ἀφότου ἀπεσώσασιν ἐκεῖσε εἰς τὰ φουσάτα.
Ἐδιόρθωσεν ὁ πρίγκιπας τὸν παρακαθισμόν τους.
Λοιπὸν διατὶ ἔνι τὸ βουνὶν τοῦ κάστρου τῆς Κορίνθου
1475 Πλατὺ καὶ μέγα φοβερὸν, καὶ ἀπάνω ἔνι τὸ κάστρον,
Εὑρίσκεται πρὸς μεσημβριὰν τοῦ ἐκείνου τοῦ κάστρου
Ὀκάτι ἕνα βουνόπουλον, τραχόνι γὰρ μὲ σπήλαιον,
Καὶ ὥρισεν ἐνταῦθα ὁ πρίγκιπας, καὶ ἀπάνω ἔκτισε κάστρον.
Μούν-ντὲ-Σκοῦδε τὸ ὠνόμασαν, οὕτως τὸ κράζουν πάλαι[2].

[1] Siége. Voy. le Glossaire.
[2] Voy. l'Index géographique.

1480 Καὶ ἀπὸ τὴν ἄλλην γὰρ μερέαν, τὸ λέγουσι πρὸς ἄρκτον,
Ὁ μέγας κύρης ἔπηκε κάστρον ἐκεῖ ἐδικόν του.
Ἐβάλασι σωτάρχησιν, σκουταροτζαγρατόρους·
Καὶ τόσα τοὺς ἐστένευσαν τοὺς Κορινθοὺς ἐνταῦθα,
Ὅτι ποσῶς οὐκ εἶχαν ἀπάδειαν ξύλα κανένα ἐμπάσουν,
1485 Οὐδὲ σωτάρχησις καμμία νὰ τοὺς ἔμπῃ ποθόθεν·
Μόνη τὸ ὕδωρ τὰ πολὺ τῶν βρύσων καὶ πηγάδων,
Ὁποῦ εἶναι ἀπάνω 'ς τὸ βουνὶν ἀπέσω εἰς τὸ κάστρον,
Αὐτόνον εἴχασι πολὺ· καὶ ποῖος νὰ τοὺς τὸ ἐπάρῃ;
Λοιπὸν ἂν ἤθελα λεπτῶς νὰ σὲ τὰ ἔγραψα ὅλα,
1490 Ὅσα καὶ γὰρ ἐγείνησαν 'ς τὸ σέντζιον τῆς Κορίνθου,
Πολλὰ ἤθελαν βαρεθεῖ ἐκεῖνοι ὁποῦ τ' ἀκούσει.
Ἀλλὰ ἐκ τὴν στένευσιν τὴν πολλὴν ὁποῦ εἶδαν ἐκεῖνοι οἱ ἀπέσω,
Ὅτι ποθὲν οὐκ ἠμποροῦν νὰ ἔχουσι βοήθειαν,
Ἔπεσαν εἰς συμβίβασιν, καὶ ἐδώκασιν τὸ κάστρον
1495 Μεθ' ὅρκον καὶ μὲ συμφωνιαῖς νὰ ἔχουν ταῖς προνοίαις τους,
Καθὼς καὶ οἱ ἕτεροι Ῥωμαιοὶ τοῦ πριγκιπάτου ὅλου.
Ἀφότου γὰρ ἐκέρδισεν ὁ πρίγκιπας Γυλιάμος
Τὸ κάστρον τὸ βασιλικὸν ἐκεῖνο τῆς Κορίνθου,
Ὥρισε, καὶ ἐβάλασι σωτάρχησιν μεγάλην
1500 Ἀπὸ λαὸν καὶ ἅρματα, ὡς πρέπει καὶ ἁρμόζει.
Καὶ ἐνταῦθα κράζει πρότερον ἀρχῇ τὸν μέγαν κύρην,
Καὶ μετὰ ταῦτα ἅπαντας ὅλους τοὺς κεφαλάδαις,
Καὶ οὕτως εἶπε πρὸς αὐτοὺς μετὰ μεγάλης γνώμης[1]·
« Συντρόφοι, φίλοι καὶ ἀδελφοί, πρέπει νὰ εὐχαριστοῦμεν
1505 « Πρῶτα τὴν δόξαν τοῦ Θεοῦ, δεύτερον τῆς Θεοτόκου,
« Τὴν χάριν τὴν μᾶς ἔδωκε, καὶ ἔχομεν κερδεμένον

[1] Ce vers manque dans le ms. de Copenhague, et je le restitue d'après le ms. de Paris.

« Τὸ κάλλιον μέρος τοῦ Μωραίως· ὀλίγον γὰρ μᾶς λείπει.
« Τὸ κάστρον γὰρ τοῦ Ἀναπλιοῦ καὶ τὴν Μονοβασίαν,
« Αὐτὰ τὰ δύο μᾶς λείπουσι. Καὶ λέγω ὅτι ἂν σᾶς φαίνη,
1510 « Ἐδῶ ὁποῦ εὑρίσκεσθε, ἐν ὁμοῦ ἂς ἔχωμεν συντύχει,
« [Βουλὴν ἂς ἔχωμεν ἀμφότεροι μὲ τὶ τρόπον καὶ στράταν]
« Νὰ πολεμήσωμεν καὶ αὐτὰ, νὰ τὰ ἔχωμεν κερδίσει.[1] »
Ἐν τούτῳ οἱ φρονιμότεροι εἶπαν καὶ ἀφιρῶσαν·
« Ὅτι ἀφότου εὑρίσκονται ἀμφότερα τὰ κάστρη
1515 « Εἰς ἀκρωτῆριν τοῦ γιαλοῦ, καὶ ἔχουσιν λιμῶνα,
« Πρέπει νὰ τὰ σεντζήσωμεν τῆς γῆς καὶ τῆς θαλάσσης. »
Ἐνταῦθα καθεζόμενοι εἰς τὴν βουλὴν ἐκείνην,
[Μαντάτα ἠφέρασιν ἐκεῖ τοῦ πρίγκιπα Γυλιάμου.
Οἱ ἀποκρισάροι ἐστράφησαν ἀπὸ τὴν Βενετίαν,
1520 Καὶ ἠφέρασιν ταῖς συμφωνίαις οὕτως ὡς ἂν ἐζήτει
Ὁ πρίγγιπας ὅλως τινὸς ὡς ἤθελεν καὶ ἀγάπα.]
Τὰ κάτεργα τὰ τέσσαρα ἦλθαν εἰς τὴν Κορώνην.
Τὸ ἀκούσει το ὁ πρίγκιπας, μεγάλως γὰρ τὸ ἐχάρη·
Ὡσαύτως τὸ ἀποδέκτησαν καὶ οἱ κεφαλάδαις ὅλοι.
1525 [Μὲ τὴν βουλὴν ὁ πρίγκιπας κράζει τοὺς Βενετίκους]
Ἐκείνους ὁποῦ ἠφέρασιν ταῖς συμφωνιαῖς ἐκείνις.
Καβαλλάρην ἀπέστειλεν ἐκεῖσε εἰς τὴν Κορώνην·
Τὸ κάστρον ἐπαράδωκεν, νὰ τὸ ἔχουν οἱ Βενετίκοι
Μὲ ὅλην τὴν διακράτησιν, μέχρι κρατεῖ ἡ Μεθώνη,
1530 Ὅσα χωρία καὶ ἂν ἤσασιν, τὰ ἐκράτει ἐτότε ἡ κούρτη,
Νὰ τὰ ἔχῃ καὶ νομεύεται ὁ δούκας τῆς Βενετίας,
Ἄνευ τῶν τόπων καὶ προνοιῶν τὰ ἔχουν οἱ προνοιατόροι.
Καὶ ἀφότου ἐπαράλαβαν ἐτότε οἱ Βενετίκοι
Τὸ κάστρον, τὴν περιοχὴν, τὰ μέρη τῆς Κορώνης,

[1] Le ms. de Paris dit :
Πῶς γὰρ νὰ τὰ ἐπάρωμεν, πῶς θέλομεν ποιήσει.

1535 Ἀπήλθασι τὰ κάτεργα ὁλόρθα εἰς τὸ Ἀνάπλι.
Τὸ κάστρον ἐσεντζίσασιν ἐκ μέρους τῆς θαλάσσης,
Καὶ ὁ πρίγκιπας ἐκ τὴν στερεὰν μὲ τὰ φουσάτα του ὅλα.
Τὸ καλοκαῖρι ἐπέρασεν, ὁ χειμῶνας εἰσῆλθεν·
Κἀκῖσε ἐξεχειμάσασι τῆς γῆς καὶ τῆς θαλάσσης.
1540 Καὶ ὡς ἦλθεν ὁ δεύτερος καιρὸς, ἦλθε τὸ καλοκαῖρι,
Καὶ εἶδαν τὸ κάστρον Ἀναπλιοῦ, τὸ πῶς ἔνι κλεισμένον,
Καὶ οὐκ εἶχαν τίποτε ποσῶς κἀμμίαν βοήθειαν νὰ ἔλθῃ,
Ἐποίησαν συμβίβασιν, καὶ ἐδώκασιν τὸ κάστρον.
Τοῦ Ἀνάπλι γὰρ εὑρίσκονται τὰ κάστρη εἰς δυὸ τραχόνια.
1545 Ἐν τούτῳ ἐσυνδικάσθησαν νὰ δώσουν τὸ πρῶτον κάστρον,
Καὶ τὸ ἄλλο τὸ ἀχαμνότερον νὰ τὸ κρατοῦν οἱ Ῥωμαῖοι.
Μεθ' ὅρκον καὶ προστάγματα ἐπῆκαν ταῖς συμφωνίαις.
Καὶ ἀφότου ἐπαραλάβεν ὁ πρίγκιπας τὸ Ἀνάπλιν,
Μὲ προθυμιὰν τὸ ἐχάρισε τότε τὸν μέγα κύρην,
1550 Νὰ τὸ ἔχῃ εἰς κληρονομιὰν ἐκεῖνον καὶ τὸ Ἄργος.
Τὴν χάριν ὁποῦ ἐχάρισεν ὁ πρίγκιπας τὸ Ἀνάπλι,
Καὶ τὸ Ἄργος εἰθούτως ἐνομοῦ ἐτότε τὸν μέγαν κύρην,
Ἦτον διὰ τὴν συνδρομὴν, ὁποῦ ἔπηκεν ἐτότε,
Ὁ μέγας κύρης σὲ λαλῶ, εἰς τὸ πιάσμα τῆς Κορίνθου,
1555 Ὡσαύτως διὰ τὸ ἀπάντεχεν ὁ πρίγκιπας μετ' αὔτον,
Νὰ τοῦ βοηθήσῃ εἰς τὸ πιάσμα κάστρου Μονοβασίας.
Λοιπὸν ἀφότου ἐπιάσασιν τὸ κάστρον τοῦ Ἀνάπλι,
Ὁ πρίγκιπας ἐδιέβηκε μετὰ τὸν μέγαν κύρην.
Καὶ ἀπέκει ἀπεχωρίσθησαν, καὶ ἐδιέβη ὁ μέγας κύρης
1560 Ὁλόρθα ἐκεῖ εἰς τὴν χώραν του, τὴν λέγουσι γὰρ Θήβαν,
[Καὶ ὁ πρίγκιπας ἐδιάβηκεν εἰς τὰ μέρη τοῦ Μωραίως.]
Καὶ ἀφότου ἐπέρασε ὁ καιρὸς, τὸν λέγουσι χειμῶνα,
Μαντατοφόρους ἔστειλεν ὁ πρίγκιπας Γυλιάμος.
Γράφει καὶ παρακαλεῖ πρῶτα τὸν μέγαν κύρην,

1565 Τοὺς τρεῖς αὐθέντας τοῦ Εὔριπου, τὸν δοῦκαν τῆς Νηξίας,
Καὶ ὅλους γὰρ τοὺς ἕτερους αὐθέντας τῶν νησίων,
Τὸν κόντον τῆς Κεφαλονιᾶς, καὶ ὅλους τοὺς κεφαλάδαις
Τοῦ πριγκιπάτου τοῦ Μωραίως, μικρούς τε καὶ μεγάλους,
Νὰ ἔρχωνται μὲ ἅρματα, μὲ σωταρχιὰν μεγάλην,
1570 Ἐς τὸ κάστρον τῆς Μονοβασιᾶς βουλεύεται ν' ἀπέλθῃ,
Διατὸ ἕνι ἀπολέμητον, παρακαθήσει τὸ ἔχῃ,
Τῆς γῆς γὰρ καὶ τῆς θάλασσας βούλεται νὰ ἔχῃ βάλλει
Φύλαξιν παρακαθισμὸν, ἕως οὗ νὰ τὸ ἔχῃ πάρει.
Καὶ ἀφότου ἄνοιξε ὁ καιρὸς ἀπὸ τὸν μάρτιον μῆναν,
1575 Καταπαντόθεν ἤλθασιν ἐκεῖνα τὰ φουσάτα.
Εἰς τὰ λιβάδια τοῦ Νικλιοῦ, ἐκεῖσε εἰς τοὺς κάμπους,
Ἐγίνετον ἡ σώρεψις ἐκείνων τῶν φουσάτων·
Καὶ ἀπ' ἐκεῖ ὁλόρθα ἐδιέβησαν εἰς τὴν Μονοβασίαν·
Τὰ κάτεργα τὰ τέσσαρα ἦλθαν τῶν Βενετίκων·
1580 Καὶ ἐστῆκαν ἀπὸ τὸν αἰγιαλὸν, τὴν θάλασσαν ἐπιάσαν.
Ἐδιώρθωσεν ὁ πρίγκιπας τὸν παρακαθισμόν του.
Μὲ τέτοιον τρόπον καὶ ἀφορμὴν τὴν ἐπαρακαθῆσαν
Ἑτότε τὴν Μονοβασιὰν, ὡς 'ς τὸ κλουβὶν τὸ ἀηδόνι.
Ἐκεῖνοι τῆς Μονοβασιᾶς, ὁποῦ ἤξευραν τὸ κάστρον,
1585 Ὅτι ἔρχετον ὁ πρίγκιπας νὰ τοὺς παρακαθήσῃ,
Ἐποίηκαν τὴν σωτάρχιόν τους κατὰ τὴν οὐσίαν ὁποῦ εἶχαν·
Καὶ εἰς ψῆφον οὐ καὶ εἴχασι τα Φράγκικα φουσάτα·
Ἔχοντα γὰρ τὸν λογισμὸν μικρὸν νὰ ἔχουσιν ἀργήσει
Ἐκεῖ εἰς τὸν παρακαθισμὸν ὁποῦ τοὺς ἐποίησαν[1].
1590 Ὁ πρίγκιπας γὰρ εὐβλέποντας τὴν τόσην ἀλαζονείαν,

[1] Le ms. de Paris dit :

Ἐπάντεχαν, καὶ ἔλεγαν γοργὸν νὰ ὑπαγένουν,
Ν' ἀφήσουσι τὸν καθισμὸν, τὸν τοὺς παρακαθῆσαν.

Ἀπὸ χολῆς του καὶ θυμοῦ ὥμωσε εἰς τὸ σπαθίν του,
Ποτέ του ἀπέκει μὴ διαβῇ, ἕως οὗ τὸ κάστρον ἐπάρῃ.
Τὰ τριμπουζέτα ὥρισεν, καὶ ἐστήσασιν κἂν τρία,
Καὶ ἔρρικταν ἀδιάλειπτα ἡμέραν γὰρ καὶ νύκτα·
1595 Τὰ ὁσπήτια ἐχαλάσασι, καὶ ἀνθρώπους ἐφονεῦαν.
Τί νὰ σὲ λέγω τὰ πολλὰ, καὶ πότε νὰ τὰ γράφω
Τὰ ὅσα ἐποίησεν ὁ πρίγκιπας εἰς τὴν Μονοβασίαν,
Καὶ πάλαι πῶς ἐδιάγασιν οἱ Μονοβασιώταις·
Ἀλλὰ διὰ συντομότερον καὶ νὰ σᾶς τὸ κοντέψω,
1600 Καθὼς τὸν ὅρκον ἔποικεν ὁ πρίγκιπας ἐτότε,
Ὅτι ποτέ του οὐ μὴ ἀπελθοῦν ἐκ τὴν Μονοβασίαν,
Ἕως οὗ νὰ πάρῃ τὸ βουνίν, ὡσαύτως καὶ τὸ κάστρον.
Ἐν τούτῳ ἀργήσασιν ἐκεῖ τρεῖς χρόνους γὰρ καὶ πλέον·
Ἐκεῖνοι τῆς Μονοβασιᾶς οὐκ εἶχαν τί νὰ φάγουν·
1605 Ἐφάγασι τοὺς ποντικοὺς, ὁμοίως καὶ τὰ κατζία·
Οὐκ εἶχαν πλέον τὸ τί νὰ φάγουν, μόνον καὶ τὸ κορμί τους[1].
Καὶ ὡς εἶδαν τὴν στενοχωριὰν, τὸν θάνατον ἐμπρός τους,
Βουλὴν ἐπῆραν ἐνομοῦ τοῦ νὰ ἔχουν προσκυνήσει.
Συμβίβασιν ἐζήτησαν τοῦ πρίγκιπα Γυλιάμου,
1610 Νὰ ἦναι πάντοτες αὐτοῦ μὲ τὴν κληρονομιάν τους,
Φράγκοι ἐγκούσατοι, ἐνομοῦ μετὰ τὰ πράγματά τους,
Νὰ μὴ χρεωστοῦσιν δούλευσιν, ἄνευ τὰ πλευτικά τους,
Ἔχοντα γὰρ τὴν ῥόγαν τους καὶ τὴν φιλοτιμιάν τους.
Ὁ πρίγκιπας τοὺς ἔπηκεν ἐγγράφως βουλλωμένκις
1615 Ταῖς συμφωνιαῖς καὶ ὑπόθεσαις, ὁποῦ τοῦ ἐζητῆσαν.
Καὶ ὅσον ἐπαράλαβε τὰ ὁρκωματικά τους,
Τρεῖς ἄρχοντες ἀπ' ἐκείνους ἐπῆραν τὰ κλειδία

[1] Le ms. de Paris dit :

Τὸ τί νὰ φᾶν οὐκ εἴχασι, μόνον ὁ εἷς τὸν ἄλλον.

Τοῦ κάστρου τῆς Μονοβασιᾶς, τοῦ πρίγκιπος τὰ ἠφφραν·
Ὁ ἕνας ἦτον Μαμουνᾶς, ὁ ἄλλος Δαιμονογϊάννης,
1620 Ὁ τρίτος ἦτον Σοφιανός· οὕτως τὸν ὠνημάζαν.
Αὐταῖς ἦσαν ἡ τρεῖς γενεαῖς καὶ οἱ εὐγενικώτεροί τους [1]
Ὁποῦ ἦσαν 'ς τὴν Μονοβασιὰν καὶ εἶναι ἀκόμη ἐκεῖσε.
Τὸν πρίγκιπα ἐπροσκύνησαν, καλὰ τοὺς ἀπεδέχθη,
Ὡς φρόνιμος, διακριτικὸς, ὁποῦ ἦτον εἰς τοὺς πάντας·
1625 [Γλυκέα τοὺς ἀναδέκτηκεν μετὰ τιμῆς μεγάλης,]
Εὐεργεσιὰν τοὺς ἐπῆκεν ἄλογα καὶ φαρία,
Καὶ ροῦχα γὰρ ὁλόχρυσα σκαρέλατα μετ' ἐκεῖνα·
Ἐπρόνοιασέ τους ἀλλαδὴ εἰς τὰ μέρη τῶν Βατίκων.
[Καὶ ἀφότου ἐπαράλαβεν ὁ πρίγκιπας Γυλιάμος
1630 Τὸ κάστρον τῆς Μονοβασιᾶς τὸ ἐξάκουστον ἐκεῖνον,
Σωτάρχιον ἔβαλλεν πολλὴν, ἄνθρωπους τῶν ἁρμάτων,
Καὶ ἅρματα καὶ διήκησες ὡς ἔπρεπε νὰ ἔχῃ.
Ἀκοῦσον γὰρ τὰ ἐξέχωρα, τὰ μέρη τῶν Βατίκων,
Καὶ ἐκεῖνοι ἀπὸ τὴν Τζακονίαν ὁποῦ ἦσαν ῥοβολεμένοι,
1635 Ὅτι ἡ Μονοβασία ἐπροσκύνησε τὸν πρίγκιπα Γυλιάμον],
Ὁλοδρομαίως ἐρχόντησαν, καὶ ἐπροσκυνήσανέ τον·
Καὶ ὁ πρίγκιπας ὡς φρόνιμος ὅλους τοὺς ἐχαιρέτα,
Γλυκεὰ τοὺς ἀπεδέχετον πρὸς τὴν οὐσιὰν ὁποῦ εἶχαν.
Καὶ ὅσον ἐκατέστησεν ὁ πρίγκιπας Γυλιάμος
1640 Τὸ κάστρον τῆς Μονοβασιᾶς καὶ τὰ τῶν περιχώρων,
Ὥρισε καὶ ἀπολόγιασαν ὅλα του τὰ φουσάτα,
Ὡσαύτως καὶ τὰ κάτεργα, ὁποῦ ἦσαν τῆς Βενετίας,
Καὶ μετὰ ταῦτα ἐστράφηκε 'ς τὴν Λακοδαιμονίαν.
Τοὺς κεφαλάδαις ἔκραξε βουλὴν νὰ τοῦ ἔχουν δώσει·

[1] Le ms. de Paris dit seulement :
Ὁμοίως ἐκ τὴν Τζακωνιὰν, ποῦ ἦσαν ῥοβολεμένοι.

1645 Καὶ ἐκεῖνοι τοῦ ἀποκρίθησαν, καὶ ἐσυμβούλευσάν τον,
Διατὶ ἐκοπίασαν πολλὰ τῆς γῆς καὶ τῆς θαλάσσης,
(Χρόνους τρεῖς ὁποῦ ἐστάθησαν εἰς τὴν Μονοβασίαν),
Νὰ ἔχωσιν ἀπολογιὰν μικροί τε καὶ μεγάλοι,
Νὰ ἀπέρχωνται εἰς τὰ ὁσπήτια τους διὰ νὰ καλοπαθήσουν·
1650 Καὶ ὁ πρίγκιπας μετ' ἐκεινοὺς, ὁποῦ ἦσαν φαμελιά του,
Νὰ εἶναι εἰς τὴν Λακοδαιμονιὰν, ἐκεῖ νὰ ξεχειμάσῃ.
Ἐνταῦθα ἐμισέψασι μικροί τε καὶ μεγάλοι,
Καὶ ἀνέμεινεν ὁ πρίγκιπας, ὡσὰν σὲ τὸ ἀφηγοῦμαι.
Καὶ οὕτως ἐκαβαλλίκευσεν μετὰ τὴν φαμελιάν του,
1655 Καὶ ἐπερπάτει ἐκ τὰ χωριὰ 'ς τὸν μέρον τῆς Μονοβασίας,
Σ' τὸ Ἔλεος, εἰς τὸν Πασαβᾶν[1] καὶ εἰς τοὺς ἐκεῖσε τόπους.
Μετὰ χαρᾶς ἀπέρχετον, καὶ ἀπέρνα τὸν καιρόν του.
Καὶ ὅσον ἐγύρισε καλὰ τὰ μέρη ἐκεῖνα ὅλα,
Εὗρε βουνὶν παράξενον, ἀπόκομμα εἰς ὄρος,
1660 Ἀπάνω τῆς Λακοδαιμονιᾶς, κανένα μίλιν πλέον.
Διὰ τοῦ ἄρεσε πολλὰ νὰ ποιήσῃ δυναμάριν,
Ὥρισεν, ἀπάνω εἰς τὸ βουνὶν καὶ ἔκτισαν ἕνα κάστρον,
Καὶ Μιζιθρᾶ τ' ὠνόμασε, διατὶ τὸ ἐκράζαν οὕτως·
Λαμπρὸν κάστρον τὸ ἔπηκε, καὶ μέγα δυναμάριν.
1665 Λοιπὸν διατὶ τὸν εἴπασιν οἱ ἄνθρωποι τοῦ τόπου,
Ὅτι ὁ ζυγὸς τῶν Μελιγγῶν ἔνι γὰρ δρόγγος μέγας,
Καὶ ἔχει κλεισούραις δυναταῖς, χώρακις γὰρ καὶ μεγάλαις,
Ἀνθρώπους ἀλαζονικοὺς, κ' οὐ σέβονται αὐθέντην,
Ἐκατεσκόπησε πολλὰ, τὸ πῶς νὰ τοὺς κυριεύσῃ.
1670 Ἐν τούτῳ εἶπε πρὸς αὐτὸν καὶ ἡ βουλὴ ὁποῦ εἶχεν,
Ὅτι ἀφότου ἐγείνετον τοῦ Μιζιθρᾶ τὸ κάστρον,
Καὶ ἔνι ἀπάνω εἰς τὸν ζυγὸν, τοῦ Μελιγγοῦ τὸν δρόγγον,

[1] Passavant, aujourd'hui Passava. Voy. l'Index géographique

Νὰ ποιήσῃ καὶ ἄλλον γύρωθεν ἐκείνων τῶν βουνίων,
Ὅπως νὰ κυριεύσωσιν ἐκεῖνους γὰρ τοὺς τόπους.
1675 Εν τούτῳ ἐκαβαλλίκευσεν ὁ πρίγκιπας ἀτός του,
[Καθὼς τὸν ἐσυμβούλευσαν οἱ ἄνθρωποι τοῦ τόπου,]
Καὶ ἐπέρασε τὸν Πασαβᾶν, καὶ ἐδιέβη εἰς τὴν Μαΐνην.
Εκεῖ εὗρε σπήλαιον φοβερὸν εἰς ἀκροτῆρι ἀπάνω.
Δεκτὶ τοῦ ἄρεσε πολλά, ἐπυίησεν ἕνα κάστρον,
1680 Καὶ Μαΐνην[1] τὸ ὠνόμασε, οὕτως τὸ λέγουν πάλιν.
Καὶ ὡς ἂν εἶδαν οἱ ἄρχοντες, καὶ οἱ ἀρχηγοὶ τοῦ δρόγγου,
Τὸ πῶς οἱ Φράγκοι ἐποιήσασιν ἐκεῖνα τὰ δύο κάστρη,
Βουλὴν ἐπῆραν ἐνομοῦ τὸ πῶς νὰ θέλουν διάξει.
Ἐν τούτῳ ἔλεγαν οἱ ἀρχηγοὶ, ὁποῦ εἶχαν καὶ τὸν πλοῦτον,
1685 Ὅτι νὰ στέκουν ἀφρὰ παρὰ νὰ δουλωθοῦσι.
Οἱ δὲ, τὸ πλῆθος τοῦ λαοῦ καὶ τὸ κοινὸν τὸ ὅλον,
Εἶπαν καὶ ἐδώκασιν βουλὴν, ὅτι νὰ ἔχουν προσκυνήσει,
Μόνη νὰ ἔχουσι τιμὴν, δεσποτικὰ μὴ κάμνουν,
Ὡσὰν τὰ κάμνουν τὰ χωριά, ὁποῦ εἶναι εἰς τοὺς κάμπους·
1690 « Ἐπὴν ἀφῶν ἐγίνησαν αὐτὰ τὰ δύο κάστρη,
« Καὶ οὐδὲν ἔχομεν ἐπάδειαν, ὡσὰν μᾶς ἀποκλείσουν
« [Εἰς κάμπους κατεβαίνομεν νὰ κάμωμεν νὰ ζοῦμεν]
« Οὐδὲν ἔχομεν δύναμιν νὰ ζοῦμεν εἰς τὰ ὄρη[2]. »
Ἰδόντα γὰρ οἱ ἄρχοντες, καὶ οἱ ἀρχηγοὶ τοῦ δρόγγου,
1695 Ὅτι τὸ κοινὸν ἠθέλασιν τοῦ νὰ ἔχουσιν προσκυνήσει,
Οὐκ εἴχασιν τὸ πῶς νὰ ποιήσει ἀλλέως καὶ ἐπέσασιν εἰς δρόμον,
Μαντατοφόρους ἔστειλαν 'ς τὸν πρίγκιπα Γυλιάμον·
Συμβίβασιν ἐζήτησαν, τοῦ νὰ ἔχουσιν ἐγκούσιον,

[1] Voy. l'Index géographique.

[2] Le ms. de Paris dit seulement :

Οὐδὲν ἔχομεν δύναμιν νὰ ζοῦμεν εἰς τὰ ὄρη.

Τέλος οὔτε δεσποτικὸν νὰ ποιήσουσι ποτέ τους,
1700 Καθὼς οὐδὲν τὸ ἔπηκαν πώποτέ τους οἱ γονοί τους,
Προσκύνημα νὰ δίδουσιν, δουλείαν τῶν ἁρμάτων,
Ὡς περ τὸ ἐπολεμούσασιν ὁμοίως τοῦ βασιλέως.
Ταῖς συμφωνιαῖς ἐστερέωσεν ὁ πρίγκιπας Γυλιάμος·
Ἐγγράφως ταῖς ἔπηκεν μὲ κρεμασταῖς ταῖς βούλλαις.
1705 Καὶ ἀφότου ἐπροσκύνησε τοῦ Μελιγοῦ ὁ δρόγγος,
Τινὲς ἀπ' αὔτους εἴπασι τοῦ πρίγκιπα Γυλιάμου,
Ὅτι ἂν θέλῃ, νὰ ἔχῃ τὸν ζυγὸν ὅλον εἰς θέλημά του,
Νὰ ποιήσῃ κάστρον εἰς τὸν αἰγιαλὸν πλησίον τῆς Γιστέρνας.
Καὶ ὁ πρίγκιπας τοῦ ἐπίστευσεν ἐκείνου ὁποῦ τὸ εἶπαν·
1710 Ὥρισε καὶ ἐκτίσαν το, καὶ Λεῦτρον[1] τὸ ὠνομάσαν.
Καὶ ἀφότου γὰρ ἐκτίσθησαν τὰ κάστρη, ὁποῦ σὲ εἴπω,
Τὸ Λεῦτρον καὶ τὸ Μιζιθρὰ καὶ τῆς παλαιᾶς Μαίνης,
Δούλωσε τα Σκλαβικά, καὶ εἶχεν τὰ εἰς θέλημά του.
Καὶ περιεπάτει, ἐχαίρετον ἀπὸ ὅλον τὸ πριγκιπάτον,
1715 Ὃς ἂν τὸ ἐκατακυρίευσε, καὶ αὐθέντευσέ το ὅλον.
Ἐν τούτῳ θέλω ἀπὸ τοῦ νῦν νὰ παύσω καὶ νὰ λέγω
Περὶ τοῦ πρίγκιπα Ἀχαϊᾶς, ἐκείνου τοῦ Γυλιάμου,
Καὶ θέλω νὰ σὲ ἀφηγηθῶ περὶ τοῦ βασιλέως
Κὺρ Θεοδώρου τοῦ Λάσκαρη, τοῦ βασιλεὼς Ῥωμαίων,
1720 Ὁποῦ ἦτον 'ς τὴν Ἀνατολὴν τοὺς χρόνους γὰρ ἐκείνους,
Διατὶ εἰς τὴν Πόλιν εὑρίσκετον φράγκος γὰρ βασιλέας,
Καὶ Παντουῆν[2] τὸν ἔλεγαν, οὕτως τὸν ὠνομάζαν.
Καθὼς ἠκούσετε ἐδῶ ὀπίσω εἰς τὸ βιβλίον,
Τὸ πῶς ἐκείνους τοὺς καιροὺς ὁποῦ ἦτον βασιλέας
1725 Κὺρ Θεόδωρος ὁ Λάσκαρης εἰς τοὺς Ῥωμαίους ἀπάνω,

[1] Appelé par les Français, Beau-Fort. Voy. l'Index géographique.

[2] Baudoin. Voy. l'Index onomastique.

Καὶ ἦλθέ του ὁ θάνατος· καὶ ἄφηκε τὸν υἱόν του,
Ὁποῦ ἦτον ἀνήλικον παιδὶν, νὰ τὸ ἀναθρέφῃ ἐκεῖνος
Κὺρ Μιχαὴλ, τὸν ἐλέγαν, ὁ μέγας Παλαιολόγος,
Διατὶ ἦτον ὁ πρωτότερος ἄρχων τῆς Ῥωμανίας.
1730 Καὶ ἐκεῖνος, ὡς ἠθέλησε νὰ ποιήσῃ ἁμαρτίαν,
Ἔπνιξε καὶ ἐθανάτωσε τὸν αὐθεντόπουλόν του,
Καὶ ἐκράτησε τὴν βασιλειὰν ὅλης τῆς Ῥωμανίας.
Ἀκοῦσον τοῦτο ὁ Ἄγγελος ἐκεῖνος Καλοϊωάννης,
Κουτρούλης τὸ ἐπίκλην του, δεσπότης τῆς Ἑλλάδος[1],
1735 Τὸ πῶς ἐποίησεν, καὶ πῶς ἔπραξεν ἐκεῖνος ὁ Παλαιολόγος,
Καὶ ἐφόνευσε τὸν βασιλεὰ, καὶ τοῦ ἐπῆρεν τὴν βασιλείαν,
Ἐθλίβη γὰρ καὶ ἐχολίασε, μεγάλως τὸ ἐβαρύνθη·
Ὅρκον ἐποίησεν ἀφηρὸν, ποτὲ τὸν Παλαιολόγον
Νὰ μὴ τὸν τάξῃ βασιλεὰ, αὐθέντην μὴ τὸν ἔχῃ·
1740 Ἀφότου μὲ τυραννικὴν ὑπόθεσιν ἐπῆρε
Τὴν βασιλείαν γὰρ τῶν Ῥωμαίων, οὐ πρέπει νὰ τὸν ἔχῃ
Αὐθέντην, οὐδὲ φίλον του, ἀλλ' οὐδὲ συγγενῆ του.
Ἀκοῦσον ταῦτα ὁ βασιλεὺς, ἐκεῖνος ὁ Παλαιολόγος,
Μεγάλως τὸ ἐβαρύνθηκε, ἐθλίβη καὶ ἐχολίασε,
1745 Καὶ εἶπεν, ὅτι ἂν εἶχε ὁδὸν, νὰ ἐπέρασε 'ς τὴν δύσιν,
Γοργὸν πολλὰ τὸν ἤθελε χολίασει γὰρ καὶ θλίψει·
Ἀλλὰ διὰ τὸ εὑρίσκετο ἐτότε εἰς τὴν Πόλιν
Ὁ Βαλδουδίνος ὁ βασιλεὺς, κ' εἶχε τὴν αὐθεντείαν,
Οὐδὲν εἶχε τὴν δύναμιν 'ς τὴν δύσιν νὰ περάσῃ.
1750 Ἀφότου γὰρ ἐκέρδισε τὴν Κωνσταντίνου πόλιν,
Καὶ ἀπέρασε 'ς τὸν Γαλατᾶν, καὶ εἶχε τὴν βασιλείαν,
Ἐποίησεν καὶ ἐφουσάτευσε τῆς γῆς καὶ τῆς θαλάσσης,
Καὶ ἄρχισε μάχην δυνατὴν μὲ τὸν δεσπότην Ἄρτας·

[1] Voy. l'Index géographique.

Καὶ ἐκεῖνος, ὡς ἦτον φρόνιμος, καλὰ ἐμετεχειρίσθη·
1755 Τοὺς Φράγκους γὰρ ἐρρύγευσε, τὸν πρίγκιπα Γυλιάμον,
Καὶ τὸν αὐθέντην Ἀθηνῶν, ὁμοίως τοὺς Εὐριπιώτας·
Μὲ ἐκείνους ἐβοηθήθηκε, καὶ ἐπέρασε τὴν μάχην.
Ἐν τούτῳ ἦλθε ὁ θάνατος κὺρ Ἰωάννου τοῦ δεσπότου,
Καὶ ἄφηκέ του κληρονόμον κὺρ Νικηφόρον υἱόν του.
1760 Εἶχε καὶ ἕτερον υἱὸν, ὁποῦ ἦτονε νόθος,
Τοῦ ὁποίου ἀφῆκεν εἰς τὴν Βλαχιὰν ἕνα καλὸν ἡμερίδιν,
Χώραις καὶ κάστρη δυνατὰ, διὰ νὰ τὰ αὐθεντεύῃ,
Κὺρ Θεόδωρον τὸν ἔλεγαν, Δούκαν τὸ παρανόμιν.
Ἐκεῖνος γὰρ ἐξέβηκε εἰς τ' ἄρματα ἀνδρειωμένος.
1765 Στρατιώτης ἦτον φοβερὸς, φρόνιμος καὶ ἐπιδέξιος.
Καὶ ὡς εἶδεν, ὅτι ἀπέθανεν ὁ πατήρ του ὁ Καλοϊωάννης,
[Καὶ ἐνέμεινε ὁ ἀδελφὸς αὐτοῦ ἐκεῖνος ὁ Νικηφόρος
Ὅστις οὐκ ἦτον φρόνιμος ὡς ἦτον ὁ πατήρ του,]
Ἠθέλησεν καὶ ὡρέχθηκε νὰ ἐπάρῃ τὴν Βλαχίαν,
1770 Νὰ ἐπάρῃ γὰρ καὶ τὸ ἥμισον ὅλου τοῦ Δεσποτάτου.
Ἐποίησε κάστρον ἀφηρὸν, τὸ λέγουν ἡ Νέα Πάτρα,
Καὶ ἄρχισε μάχην δυνατὴν μετὰ τὸν ἀδελφόν του,
Τὸν κὺρ Νικηφόρον σὲ λαλῶ, ἐκεῖνον τὸν δεσπότην.
Καὶ διατὶ ἐβοηθούσασιν οἱ Φράγκοι τοῦ δεσπότου,
1775 Ἐδιέβη ὁ κὺρ Θεόδωρος ἐκεῖ εἰς τὸν βασιλέαν,
Εἰς τὸν κὺρ Μιχάλην, σὲ λαλῶ, τὸν μέγαν Παλαιολόγον.
Πολλὰ τοῦ ὑποσχέθηκε, καὶ ἔταξε νὰ ποιήσῃ·
Τὸν ἀδελφόν του ἔταξε νὰ δώσῃ, τὸν δεσπότην,
Δεμένον, ὡς πανάπιστον, καὶ νὰ τὸν προσκυνήσῃ.
1780 Σεβαστοκράτορα τὸν ἔπηκεν ὅλης τῆς Ῥωμανίας,
Καὶ τὰ φουσάτα τοῦ ἔδωκε νὰ τὰ ἔχῃ εἰς ἐξουσίαν του,
Νὰ μάχεται, δικάζεται δεσπότην τὸν ἀδελφόν του.
Μεγάλως τοῦ ἐτίμησεν, καὶ εὐεργεσιᾶς τοῦ ἐδώκεν.

Καὶ ὡς εἶδε τὴν πληροφορίαν ἐτότε ὁ δεσπότης
1785 Τὸ πῶς τὸν ἐρροβόλευσεν κὺρ Θεόδωρος ὁ ἀδελφός του,
Καὶ ἐδιάβη εἰς τὸν βασιλεὰ, ὁποῦ ἦτον γὰρ ἐχθρός του,
Μεγάλως τὸ ἐλυπήθηκε, καὶ εἰς σφόδρα τὸ ἐδειλιάσεν·
Τοὺς ἄρχοντάς του ἔκραξε βουλὴν νὰ τοῦ ἔχουν δώσει.
Καὶ ὅλοι τὸν ἐσυμβούλευσαν νὰ δώσῃ τὴν ἀδελφήν του,
1790 Γυναῖκαν γὰρ ὁμόζυγον τοῦ πρίγκιπος Γυλιάμου·
Ἐπειδὴ ἂν ἔχῃ τὸν πρίγκιπα βοηθὸν καὶ ἀδελφόν του,
Οὐδὲν ψηφᾷ τοῦ βασιλεὼς τὴν μάχην, οἵαν ἂν ἔκι.
Καὶ ἀφῶν ἐπῆρε τὴν βουλὴν μετὰ τοὺς ἄρχοντάς του,
Μαντατοφόρους ἔστειλε 'ς τὸν πρίγκιπα Γυλιάμον.
1795 Ἄνθρωποι ἦσαν φρόνιμοι, γοργὸν τὸν ἐσυμβιβάσαν·
Ταῖς συμφωνιαῖς ἐπήκασιν, ταῖς προίκαις καὶ τοῦ γάμου.
Γοργὸν στρέμμα ἐπήκασιν ἐκεῖσε εἰς τὸν δεσπότην.
Ὅλα τοῦ τὰ ἀφηγήθησαν ἐκ στόματος τοῦ εἶπαν,
Τὸ πῶς ἐκαταστήσασι τὴν ὑπανδρειὰν ἐκείνην.
1800 Χιλιάδαις ἑξῆντα ὑπέρπηρα ἦτον γὰρ τὸ προικίον
Ὁποῦ ἔδωκε τοῦ πρίγκιπος ἐτότε ὁ δεσπότης,
Δι' ἐκείνην τὴν παράξενον τὴν ἀδελφήν του λέγω,
Ἄνευ γὰρ τὰ στολίσματα καὶ τὰ χαρίσματά της.
Οὐδὲν γὰρ ἀργῆσαν οὐδὲ ποσῶς τὸν γάμον νὰ ποιήσουν.
1805 Ἐκεῖ εἰς τὴν Πάτραν τὴν παλαιὰν ἐγείνετον ὁ γάμος.
Καὶ ἀφῶν ἐσυμπεθέρευσαν ὁ πρίγκιπας καὶ ὁ δεσπότης,
Πολλὰ γὰρ ἀγαπήθησαν καὶ ἤσασιν τὸ ἕνα,
Καὶ ὅταν ἤθελε συμβῆ νὰ ἔχῃ ὁ δεσπότης χρείαν,
Φουσάτα ἐκ τοῦ πρίγκιπα καὶ ἀνθρώπους τῶν ἁρμάτων
1810 Ὅσα ἤθελε καὶ ἔχρῃζεν, εἶχεν εἰς θέλημά του.
Ἐν τούτῳ θέλω ἀπὸ τοῦ νῦν νὰ παύσω ἐδῶ ὀλίγον
Νὰ συντυχένω καὶ λαλῶ ἐκ τὸν δεσπότην Ἄρτας,
Καὶ θέλω νὰ σᾶς ἔχω εἰπεῖ καὶ νὰ σᾶς ἀφηγήσω

Περὶ τοῦ πρίγκιπος Μωραΐως ἐκείνου τοῦ Γυλιάμου.
1815 Ἀφότου γὰρ ἐκέρδισεν ὁ πρίγκιπας Γυλιάμος
Τὸ κάστρον τῆς Μονοβασιᾶς, ἐπλάτυνεν ἡ αὐθεντειά του·
Οὐκ εἶχε γὰρ νὰ μάχεται μὲ ἄνθρωπον τοῦ κόσμου.
Οἱ φλαμπουριάροι τοῦ Μωραΐως καὶ οἱ καβαλλάροι
Ἀρχίσασι νὰ πολεμοῦν, κάστρη καὶ δυναμάρια
1820 Ὁ καθεεὶς 'ς τὸν τόπον του νὰ κάμνῃ τὸ ἐδικόν του·
Καὶ ὡσὰν τὰ ἐκατασταΐνασιν τὰ δυναμάρια ἐκεῖνα,
Ἄφιναν τὰ ἐπωνόμιά τους, τὰ εἶχαν ἐκ τὴν Φραγκίαν,
Καὶ ἐπέρνασι τοῦ τόπου τους τ' ὄνομα, ὁποῦ ἐδάκναν.
[Ἐν τούτῳ ἄρχισεν ὀμπρὸς ὁ κάποιος μέγας αὐθέντης
1825 Μισὺρ Ντζεφρὶ τὸν ἔλεγαν, τὸ ἐπίκλην του ντὲ Μπριέρες[1],
Ὁποῦ ἦτον αὐθέντης τῶν Σκορτῶν, τοῦ δρόγγου καὶ τοῦ τόπου·
Κάστρον ἐποίησεν ἀφηρὸν, ὄμορφον δυναμάρην,
Καρίτενα τὸ ὠνόμασε, καὶ ἐκεῖνος ὠνομάσθη
Αὐθέντης τῆς Καρίτενας, ὁ ἐξάκουστος στρατιώτης.
1830 Ἀπαύτου γὰρ, ὁ δεύτερος, μισὺρ Γαρτιέρης, ἄκουε,
Ντὲ Ῥοζιέρες[2] τὸν ἔλεγαν, οὕτως εἶχεν τὸ ἐπίκλην,
Κάστρον ἐποίησε φοβερὸν ἐκεῖ εἰς τὴν Μεσαρέαν[3]
Καὶ Ἄκωδαν[4] τὸ ὠνόμασεν, καὶ ἐκεῖνος ἦτον αὐθέντης.
Κάποιον ἄλλον ἔλεγαν τὸ ὄνομα μισὺρ Ἰωάννης,
1835 Ντὲ Νουηλὴ τὸ ἐπίκλην του, ὁποῦ ἦτον καὶ πρωτοστράτωρ
Τοῦ πριγκιπάτου τοῦ Μωραΐως, καὶ εἶχέν το εἰς γονικόν του.
Κάστρον ἐποίησεν ὁ λόγου του, καὶ Πασαβᾶν τὸ ἐκράξε.
Ἄλλος ἦτον ντὲ Νιβηλὲτ καὶ ἄκουε μισὺρ Ἰωάννης·
Ἔπηκεν κάστρον ὁ λόγου του καὶ ἔκραξέ το Γεράκιν,

[1] Voy. l'Index onomastique.
[2] Voy. l'Index onomastique.
[3] L'Arcadie. Voy. l'Index géographique.
[4] Mate-Griffon. Voy. l'Index géographique.

1840 Ὁποῦ ἔνι εἰς τὴν Τζακονίαν, ἐδῶθεν γὰρ τοῦ Ἐλέου.
Ὡσαύτως καὶ οἱ ἕτεροι ὁποῦ εἶχαν αὐθεντείαις,
Οἱ καβαλλάροι, καὶ ἀρχιερεῖς, καὶ ὅλοι οἱ φλαμπουριάροι,
Ὁ κατὰ εἷς εἰς τὸν τόπον του ἐποίησεν δυναμάρην·
Τοῦ κόσμου γὰρ τὴν ἡδονὴν ἤθελαν καὶ ἀγαποῦσαν,
1845 Καὶ ἐχαίρονταν ἀμφότεροι πρὸς τὸν καιρὸν ὁποῦ εἶχαν.
Ἐνταῦθα θέλω παύσει ἐδῶ νὰ λέγω ἀπ' ἐκείνους,]
Καὶ στρέφομαι νὰ σᾶς εἰπῶ, πῶς ἄρχισεν ἡ μάχη
Ἀπὸ τὸν πρίγκιπα Μωραιὼς ἐκεῖνον τὸν Γυλιάμον
Μὲ τὸν αὐθέντην Ἀθηνῶν, ἐκεῖνον μισὺρ Γυλιάμον ἄκω
1850 Ντὲ Λαρότζε τὸ ἐπίκλην του, οὕτως τὸν ὠνομάζαν.
Τὸν χρόνον γὰρ καὶ τὸν καιρὸν καὶ ἐκείναις ταῖς ἡμέραις,
Ὁποῦ ἤκουσες καὶ εἶπα σε ὀπίσω εἰς τὸ βιβλίον μου,
Τὸ πῶς ἦλθε 'ς τὴν Κόρινθον ἐκεῖνος ὁ Μπονιφάτζος,
Ὁ μαρκέζης δὲ Μονφαρᾶς, ὁ ῥήγας τοῦ Σαλονικίου,
1855 Εἰς τὸν αὐθέντην τοῦ Μωραιὼς ἐκεῖνον τὸν Καμπανέση,
[Καὶ ἐκ τὴν ἀγάπην τὴν πολλὴν ὁποῦ εἶχασιν ἀλλήλως
Ὁ Καμπανέσης ἐζήτησεν βοήθειαν τοῦ μαρκέζη],
Καὶ ἐκεῖνος γὰρ τὸν ἐχάρισεν τὸ ὁμάτζιο καὶ λιζίαν
Πρῶτα τοῦ αὐθέντου τῶν Ἀθηνῶν, τὰ τρία τερτζέρια τοῦ Εὐρίπου,
1860 Καὶ ἀπαύτου δὲ τὸ τέταρτον τοῦ μαρκέζη τῆς Μπονιτονίτζας.
Καὶ διὰ τὴν μάχην ὁποῦ εἶχεν ὁ πρίγκιπας Γυλιάμος,
Ὡσαύτως καὶ ὁ πρωτοστράτοράς του μισὺρ Ντζεφρὲς ἐκεῖνος,
[Εἰθούτως καὶ ὁ μισὺρ Ντζεφρὲς ἐκεῖνος ὁ ἀδελφός του,]
Κουρτεζικὰ ἐδιαβάζασιν ὅλοι γὰρ τὸν καιρόν τους.
1865 Λοιπὸν ὡσὰν αὐθέντευσεν ὁ πρίγκιπας Γυλιάμος
Τὸ πριγκιπάτον Ἀχαΐας, καὶ εἶχέ το εἰς ἐξουσίαν του,
Τὸν μέγαν κύρην ἐζήτησεν τὸ ὁμάτζιο νὰ τοῦ ποιήσῃ,
Ὡσαύτως καὶ τῶν αὐθέντων τῆς Νύσσου γὰρ καὶ τοῦ Εὔριπου,
[Καὶ τοῦ μαρκέζη αλλαδὴ τοῦ αὐθέντου Μπονιτονίτζας.]

1870 Καὶ ἐκεῖνοι γὰρ ἐνώθησαν, καὶ εἶπαν τε ἀμφοτέρως.
Βουλὴν ἐπῆραν ἐνομοῦ, καὶ ἀπόκρισιν τοῦ ἐποιῆσαν,
Ὅτι οὐδὲν τοῦ ἐγνωρίζουσιν, μόνη καὶ σύντροφόν τους,
Ὡς δὲ ὁμάτζιον ὁποῦ λαλεῖ, τίποτε οὐ χρεωστοῦν τον,
Ἀλλ' οὐδὲ καταδέχονται ὁμάτζιο νὰ τοῦ ποιήσουν.
1875 Ἀκοῦσον ταῦτα ὁ πρίγκιπας, μεγάλως τὸ ἐχολιάσεν,
Ἐφάνητον ἀνόρεκτον· ἐπῆρε τὴν βουλήν του,
Καὶ ἡ βουλή του τοῦ ἔδωκε, τοῦ νὰ ἔχῃ φουσατεύσει,
Ἀπάνω εἰς αὐτοὺς νὰ ἀπελθῇ, διὰ νὰ τοὺς πολεμέσῃ,
Ὡς ἀντιστάταις καὶ ἄπιστους, ὁποῦ ἦσαν πρὸς ἐκεῖνον.
1880 Εἰς τοῦτο ὁρίζει, ἐγράψασιν ἀπάντων τοῦ πριγκιπάτου,
Φλαμπουραριῶν, καβαλλαριῶν, ὅλων τῶν ἐπισκόπων,
Τοῦ Τέμπλου καὶ Ὁσπηταλιοῦ, καὶ ὅλων τῶν βουργησίων.
Σ' τὸ Νίκλι τοὺς ἐμήνυσε νὰ ἦναι σωρεμένοι
Εἰς ταῖς εἴκοσι γὰρ τοῦ Μαΐου ἄνευ κάμμιας προφάσις.
1885 Καὶ ὡς τὸ ἤκουσε, καὶ ἔμαθε ἐτοῦτο ὁ μέγας κύρης,
Τὸ πῶς ὁ πρίγκιπας Μωραΐως οἰκονομᾶται νὰ ἔλθῃ
Ἀπάνω του διὰ πόλεμον μὲ τὰ φουσάτα του ὅλα,
Καταπαντοῦθεν ἐμήνυσεν, ἔνθα καὶ ἂν εἶχε φίλον,
Παρακαλῶντα, ἀξιώνοντα νὰ ἔλθουν νὰ τὸν βοηθήσουν
1890 Σ' τὸν πρίγκιπα ὁποῦ 'ρχεται, τοῦ νὰ τὸν πολεμήσῃ.
Ὁ κάλλιος, ὁποῦ φίλος εἶχε καὶ συγγενῆν ἐτότε,
Ἦτον ὁ ἀνδρικότατος ὁ αὐθέντης Καριτένου,
Ὁποῦ γὰρ τὸν ἐτρόμασιν 'ς ὅλην τὴν Ρωμανίαν.
Τὴν ἀδελφήν του εἶχεν γὰρ ὁμόζυγον γυναῖκαν.
1895 Ὁ μέγας κύρης τοῦ ἔγραψε, μηνᾷ, παρακαλῶντα,
Ὡς ἀδελφὸς καὶ γνήσιος του ὅπως νὰ μὴ τοῦ λείψῃ
[Εἰς τούτην γὰρ τὴν ἀφορμὴν καὶ εἰς τούτην του τὴν χρείαν,]
Ἐπὴν εἰς ἐκεῖνον ἔλπιζε, καὶ εἶχε τὸ θάρρος του ὅλον.
Ἀκοῦσον ταῦτα ὁ ἀνδρικότατος ὁ ἐξάκουστος ἐκεῖνος,

1900 [Ὁ αὐθέντης τῆς Καριτένας τὸ τὶ τοῦ μηνᾷ ὁ ἀδελφός του]
Ἔκατζε, ἐσκόπιζε, καλὰ τὸ πῶς νὰ ἔχῃ διάξει
Τὸ τίνος πρῶτα ν' ἀπελθῇ, διὰ νὰ τοῦ ἔχῃ βοηθήσει,
Τοῦ πρίγκιπος, ποῦ εὑρίσκετον αὐθέντης του γὰρ λίζιος
Καὶ συγγενής του σαρκικὸς (θεῖός του γὰρ ὑπῆρχεν),
1905 Κἂν τοῦ μεγάλου κυροῦ, τοῦ γυναικαδελφοῦ του.
Καὶ ὅσον ἐκατεσκόπισεν, εἰς ἐκλογὴν ἐπῆρεν
Ἐκεῖνο τὸ χειρότερον, τὸ οὐκ ἦτον τῆς τιμῆς του.
Εἶπεν, ὅτι κάλλιον ἔχει νὰ χάσῃ τὴν τιμήν του,
Παρὰ νὰ λείψῃ ἐκείνου τοῦ γυναικαδελφοῦ του.
1910 Ἐτοῦτο δὲ ἐσκόπισε τότε 'ς τὸν λογισμόν του,
Ὅτι ἂν λείψῃ τοῦ πρίγκιπος, διατὸ ἦτον τάχα θειός του,
Νὰ ἔχῃ τὴν συμπάθειαν, 'λαφρὰ νὰ τὸ ἀπεράσῃ.
Ἐν τούτῳ ἐδιάσθη δυνατὰ φουσάτα νὰ σωρεύσῃ·
Καὶ ἀκούσθηκε καταπαντοῦ, καὶ ὅλοι τὸ ἐθαυμάσαν.
1915 Καὶ ὁ πρίγκιπας ὡς τὸ ἤκουσε, μεγάλως τὸ ἐχάρη,
Θαῤῥῶντα νὰ ἔλθῃ καὶ ἐλπίζοντα ἐκεῖ μετ' αὐτον.
Ἐκεῖνος γὰρ ἐδιάσθηκε νὰ ὑπάγῃ εἰς τὸν μέγαν κύρην·
Καὶ ἐπῆρε τὸ φουσάτο του, καὶ ἐδιέβη εἰς τὴν Θήβαν.
Τὸν μέγαν κύρην εὕρηκε, φουσάτα νὰ σωρεύῃ·
1920 Καὶ ὡς ἂν τὸν εἶδεν ὅτι ἦλθεν ἐκεῖ ἐκεῖνος ὁ γαμπρός του,
Ἐφάνη του, ὅτι ἐκέρδισε τὸ ἥμισυ τοῦ κόσμου.
Χαρὰν μεγάλην ἐπήκασιν, ὕστερον ἐμετανοῆσαν.
Καὶ ὁ πρίγκιπας ὡς ἤκουσεν τὴν πρᾶξιν καὶ τὸν βίον
Τοῦ ἀνεψιοῦ του τοῦ κακοῦ, τοῦ αὐθέντου τῆς Καριτένας,
1925 Πολλὰ τοῦ ἐφάνη βαρετὸν, ἐθλίβη το μεγάλως,
Τὸ πρῶτον διὰ τὴν ἀκοήν, ὁποῦ 'χεν εἰς τὸν κόσμον,
Ὅτι ἦτον καλλιώτερος 'ς ὅλους τοὺς στρατιώταις,
Ὁποῦ ἦσαν εἰς τὴν Ῥωμανιὰν τοὺς χρόνους γὰρ ἐκείνους,
Καὶ πάλαι διατὸ ἐμέτεχεν καὶ ἦτον ἀνεψιός του·

1930 Καὶ ἀπίστησε τοῦ αὐθέντη του, καὶ ἐδιάβη εἰς τὸν ἐχθρόν του.
Ὅμως, ὡς ἦτον φρόνιμος, ἐπαρηγορήθη μόνος,
Καὶ ὤρθωσε τὰ φουσάτα του καὶ ἀπῆλθε 'ς τὴν Κόρινθον.
Μὲ δύναμιν ἐπέρασε τὴν σκάλαν τῶν Μεγάρων·
Μὲ πόλεμον ἐκέρδισεν ἐκείνην τὴν κλεισοῦραν.
1935 Ὁ μέγας κύρης τὸ ἔμαθεν, καὶ ἐθλίβη το μεγάλως,
Διατὶ ἔμαθεν ὅτι ἐπέρασεν ὁ πρίγκιπας τὴν σκάλαν,
Καὶ ἐσέβη εἰς τὸν τόπον του, καὶ ὑπάγει γυρεύωντά τον.
Ἐπῆρε τὰ φουσάτα του, καὶ ἦλθεν εἰς ἀπαντήν του,
Καὶ ἐκεῖ ἐσυναπαντήθησαν εἰς τοῦ Καρύδιν τὸ ὄρος.
1940 Μὲ πόλεμον ἀρχίσασιν εἰς τὸ βουνὶν ἀπάνω.
Ὡς ἕνι γὰρ ὁ Θεὸς κριτής, καὶ κρίνει εἰς τὸ δίκαιον,
Ἐδῶκεν τοῦ πρίγκιπος τὸν πόλεμον ἐκερδίσεν.
Ἐκεῖ ἐσκοτώθηκεν εἰς πόλεμον ὁ ἕνας φλαμπουριάρης,
Μισὺρ Γιγπὲρ τὸν ἔλεγαν, ντὲ Κὸρ εἶχε τὸ ἐπίκλην,
1945 Ὅς τις εἶχε τοῦ μισὺρ Τζιὰν δὲ Πασαβᾶ θυγάτηρ
Γυναῖκά του εὐλογητικὴν· καὶ μετὰ ἐκεῖνον ἐπῆρεν
Εἰς ἄνδρα εὐλογητικὸν τὸν μισὺρ Τζιὰν ἐκεῖνον,
Ντὲ Σαιντομὲρ τὸν ἔλεγαν, οὕτως εἶχεν τὸ ἐπίκλην·
Καὶ ἐπήκασιν ἀμφότεροι, τ' ἀνδρόγυνον ἐκεῖνο,
1950 Ἕνα υἱὸν ἐξαίρετον, τὸν θαυμαστὸν ἐκεῖνον
Τὸν μισὺρ Νικολὸν ντὲ Σαιντομὲρ[1], αὐθέντην τῆς Θήβας,
Καὶ μέγαν πρωτοστράτορα πριγκιπάτου Ἀχαΐας.
Ὡσαύτως ἐσκοτώθησαν 'ς τὸν πόλεμον ἐκεῖνον
Σεργένταις καὶ καβαλλαριοὶ ἀριφνισμὸς οὐκ ἦτον.
1955 Ὁ μέγας κύρης ἔφυγεν, καὶ ἐδιέβη εἰς τὴν Θήβαν
Μὲ ὅσους τοῦ ἠκολούθησαν καὶ ἐδιάβησαν μετ' ἐκεῖνον.
Ὁ αὐθέντης τῆς Καρίτενας ἐκεῖ μετ' αὐτὸν ἐδιάβη.

[1] Voy. l'Index onomastique et le Code diplomatique.

Ἀφότου γὰρ ἐκέρδισεν ὁ πρίγκιπας Γυλιάμος
Τὸν μέγαν κύρην εἰς πόλεμον ὁποῦ ἐγίνη εἰς τοῦ Καρύδι,
1960 [Ὁ μέγας κύρης ἔφυγεν, ἐσέβη εἰς τὴν Θήβαν.
Ὁ αὐθέντης τῆς Καρίτενας ἦτον ἐκεῖ μετ' αὐτον,]
Ὁ μισὺρ Νικόλας ντὲ Σαντομὲρ μετὰ τοὺς ἀδελφούς του,
[Τὸν μισὺρ Ντζία ντὲ Σαντομὲρ καὶ μὲ τὸν μισὺρ Ὅτον,]
Ὡσαύτως καὶ οἱ τρεῖς ἀδελφοὶ ὁποῦ εἶχε ὁ μέγας κύρης,
1965 Ὁποῦ ἦσαν ὅλοι ἐπαινετοὶ στρατιώταις, καβαλλάροι,
Ὁ κατὰ εἷς ἐβάσταινεν φλάμπουρον ἐδικόν του·
Ὁ αὐθέντης γὰρ τοῦ Σάλωνος[1], μισὺρ Τομᾶς ἐκεῖνος,
Οἱ τρεῖς αὐθένταις τοῦ Εὔριπου, καὶ ἐκεῖνος ὁ μαρκέζης,
Αὐτοὶ ἐβαστοῦσαν φλάμπουρα· οἱ δ' ἄλλοι οἱ καβαλλαριοὶ,
1970 Ὁποῦ ἦσαν εἰς τὸν πόλεμον μετὰ τὸν μέγαν κύρην,
Οὐδὲν τοὺς γράφω γὰρ ἐδῶ διὰ τὴν πολυγραφίαν.
Καὶ ὁ πρίγκιπας ὡς φρόνιμος μὲ τὰ φουσάτα ὁποῦ εἶχεν
Τὸ ἰδεῖ τὸ πῶς ἐκέρδισε τὸν πόλεμον ἐκεῖνον,
Ἐδιώχνοντα καὶ σφάζοντα ἐτότε τοὺς ἐχθρούς του,
1975 Σ' τὴν Θήβαν τοὺς ἀπέσωσε καὶ ἐκατασφάλησέ τους.
Ὥρισε καὶ ἐτεντώσασιν τὸ γύρον τὰ φουσάτα.
Ταῖς χώραις ἐκουρσεύσασι, καὶ αἰχμαλώτιζάν ταις.
Ἰδόντα γὰρ οἱ προεστοὶ ἐτότε τοῦ φουσάτου,
Ὁποῦ ἠγαποῦσαν καὶ εἶχασιν ἐκεῖ τοὺς συγγενούς τους,
1980 Τὸν μέγαν κύρην, ἀλλὰ δὴ ὡσαύτως καὶ τοὺς ἄλλους,
Ὁποῦ ἦσαν ἐκεῖσε μετ' αὐτὸν καὶ ἔχαναν τὰ χωριά τους,
Ὁ μητροπολίτης τῆς Θήβοῦ καὶ ἄλλοι τινὲς ἀπέκει,
Ἐβάλθησαν εἰς μεσιτειὰν, ὅπως νὰ συμβιβάσουν
Τὸν μέγαν κύρην, ἀλλὰ δὴ, καὶ ὁποῦ ἦσασι μετ' αὐτον.

[1] Salona, l'antique Amphisse, appelée la Sole par le Livre de la Conqueste. Voy. l'Index géographique.

1985 Καὶ τόσα ἐβιάσθησαν πολλὰ ἐσυμβιβάσανέ τους.
Ὁ μέγας κύρης ὤμωσε τοῦ πρίγκιπος ἐτότε,
Νὰ παύσουσι τὰ κούρση του καὶ ὁ ἐξολισμός τους,
Καὶ ἐκεῖνος εἰς τὸν ὅρκον του ν' ἀπέλθῃ 'ς τὴν Κορίνθον,
Θέλει εἰς τὴν χώραν τοῦ Νικλιοῦ νὰ τοῦ ἔχῃ ποιήσει ὁμάντζιον[1].
1990 Καὶ εἰς ὅσον γὰρ τοῦ ἔπταισε, καὶ ἔσφαλεν πρὸς αὔτον,
Διὰ τὰ ἄρματα ὁποῦ ἐβάσταξε 'ς τὸν πρίγκιπα ἀπάνω,
Νὰ ποιήσῃ τὴν ἀνταμοιβήν, ὡς ἀπαιτεῖ τὸ δίκαιον.
Οἱ φλαμπουριάροι ἐσέβησαν ἐτότε ἐγγυητάδαις,
[Ὥσπερ γὰρ τοῦ ἐγγυώθησαν ἐτότε τὸν μέγαν κύρην]
1995 Νὰ ἐλθῇ εἰς τὸ Νίκλι τερμένον ὁποῦ ἐστήσασιν ἐτότε.
Καὶ ὅσον ἐκατεστήσασιν ἐτοῦτο, ὁποῦ σὲ λέγω,
Ἐμίσεψεν ὁ πρίγκιπας, καὶ ἦλθεν 'ς τὴν Κόρινθον,
Καὶ ἀπέκει γὰρ ἐδιέβηκεν ὁλόρθα εἰς τὸ Νίκλιν.
Καὶ ὁ μέγας κύρης παρευθὺς ἐδιώρθωσε, καὶ ἐπῆρε
2000 Μετ' αὔτον τοὺς εὐγενικοὺς φλαμπουριαροὺς ὁποῦ εἶχε,
[Καὶ ὅλους τοὺς καβαλλαρίους ὁποῦ εἶχεν μετ' ἐκεῖνον·]
Τιμητικὰ καὶ εὐγενικὰ ἀπῆλθε γὰρ ἐτότε·
Ὁλόρθα ἐδιέβηκε ἐκεῖ 'ς τὴν χώραν τοῦ Ἀμικλίου[2],
Ὁποῦ τὸν ἀνάμενεν ὁ πρίγκιπας Γυλιάμος.
2005 Καὶ ὡς ἀπέσωσεν ἐκεῖ 'ς τὸ Νίκλι ὁ μέγας κύρης,
Καὶ ἐνώθη μὲ τοὺς ἄρχοντας ὅλους τοῦ πριγκιπάτου,
Ὁμοῦ μετ' αὔτον ἐδιέβησαν 'ς τὸν πρίγκιπα ἐνταῦθα·
Σ' τὰ γόνατά του ἔπεσαν ὅλοι· παρακαλοῦν τον,
Νὰ συμπαθήσῃ τὸ ἔπτηκεν ἐτότε ὁ μέγας κύρης,
2010 Διατὶ ἐβάσταξε ἄρματα εἰς πόλεμον μετ' αὔτον.
Καὶ ἐκεῖνος ὡς εὐγενικὸς καὶ φρόνιμος ὁποῦ ἦτον,

[1] Voy. le Glossaire.
[2] Νικλίου. Erreur évidente du copiste.

Κουρτέζικα ἐσυμπάθησε ἐτότε τὸν μέγαν κύριν·
Καὶ ἐνταῦθα γὰρ τοῦ ἔπηκε τ' ὁμάντζιον ὁποῦ ἐχρεώστη.
Εἰς τὸ στόμα τὸν ἐφίλησε, καὶ ἐποίησασιν ἀγάπην.
2015 Μετὰ ταῦτα γὰρ τὸν ὥρισεν ἐνώπιον τοὺς κεφαλάδαις,
Ὅτι διὰ τὴν ἀνταμοιβὴν τοῦ πταίσματος ὁποῦ ἐπῆκε,
Καὶ ἐβάσταξεν τὰ ἄρματα εἰς πόλεμον κατ' αὔτου,
Νὰ ἀπέλθῃ 'ς τὸν ῥήγαν τῆς Φραγκίας νὰ κριτῇ καὶ ἐκεῖνος νὰ τὸν κρίνῃ.
Καὶ ὁ μέγας κύρης παρευθὺς ὑπόσχεσιν τοῦ ἐπῆκεν,
2020 Ὡς τὸ ὥρισεν ὁ πρίγκιπας, νὰ τὸ ἐκπληρώσῃ ἐκεῖνος.
Καὶ ἀφότου ἐκατεστήσασιν ἐτοῦτο ὁποῦ σὲ λέγω,
Οἱ ἀρχιερεῖς καὶ οἱ ἄπαντες, ὁμοίως ὁ μέγας κύρης,
Ἐπῆραν τὸν μισὺρ Ντζεφρὲν, τὸν αὐθέντην τῆς Καριτένου,
Μὲ τὸ καπίστρι εἰς τὸν λαιμὸν· 'ς τὸν πρίγκιπα ἀπῆλθαν·
2025 Γονατιστὰ δεόμενοι, ὅλοι παρακαλοῦν τον,
Ἐλεημοσύνη νὰ γενῇ, νὰ τὸν ἔχῃ συμπαθήσει.
Καὶ ὁ πρίγκιπας οὐκ ἤθελε, πολλὰ τοὺς ἀντιστάθη·
Διατὶ τοὺς ἔδειχνε ἀφορμὴν, ὡς ἦτον γὰρ καὶ ἡ ἀλήθεια,
Τὸ σφάλμα, ὁποῦ ἔπηκε, καὶ ἐμίσεψεν καὶ ἐδιέβη
2030 Εἰς τὸν ἐχθρόν του, σὲ λαλῶ, ἐκεῖνον τὸν μέγαν κύριν,
Καὶ ἐκεῖνον ἐλευθέρωσε τὸν φυσικὸν αὐθέντην.
Ὅμως τόσον τὸν ἐδιάσθησαν, καὶ ἐπαρακάλεσάν τον
Οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες, ὅλοι οἱ κεφαλάδαις,
Ὅτι ἤφεραν τὸν πρίγκιπα καὶ ἦλθεν εἰς ἐλεημοσύνην
2035 Τοῦ αὐθέντου τῆς Καρίτενας, ἐκείνου τοῦ ἀνεψιοῦ του·
Ἐνταῦθα τοῦ ἐσυμπάθησε μὲ ἐτοῦτον γὰρ τὸν τρόπον,
Τὸν τόπον του τὸν ἔστρεψε νὰ τὸν κρατῇ ἀπὸ τότε·
[Εἰς τοῦ κορμίου του μοναχὰ, κληρονομίαν ἂν ποιήσῃ,
Εἰς νέον σῶμα τοῦ τὸν ἔδωκεν νὰ τὸν κρατῇ ἀπὸ τότε[1]].

[1] Le ms. de Paris dit seulement:

Ἐκ μέρος δὲ τοῦ πρίγκηπος νὰ ἔνι ἐδικός του.

2040 Αφότου γὰρ ἐγείνησαν συμβίδασαις ἐκείναις,
Χαρὰν μεγάλην ἔπηκαν οἱ νέοι καβαλλάροι·
Τζούστραις, κονταρία ἐτάτησαν, χαραῖς μεγάλαις εἶχαν.
Καὶ ὅσον ἐχάρησαν καλὰ, ἐμίσεψαν ἀπ' ἔκει·
Ὁ μέγας κύρης ἐζήτησεν, καὶ οἱ αὐθένταις τοῦ Εὐρίπου,
2045 Ἀπολογιὰν τοῦ πρίγκιπος, καὶ ἐδιάβησαν ἐκεῖθεν.
Καὶ διατὸ ἔρχετον ὁ καιρὸς ἐτότε τοῦ χειμῶνος,
Ὁ μέγας κύρης ἔμεινε τοῦ νὰ ἔχῃ ἐξεχειμάσει·
Καὶ ὡς ἦλθεν γὰρ ὁ νέος καιρὸς, ἀπὸ τὸν μάρτιον μῆνα,
Κάτεργα δυὸ ἁρμάτωσε, καὶ ἐσέβηκεν εἰς αὗτα.
2050 Εἰς τὸ Βροντῆσι ἐδιάβηκεν καὶ ἐπέζευσεν ἐκεῖσε·
Ἄλογα ἀγόρασε τοῦ δίκου, καὶ ἐβάλθη εἰς τὴν στράταν·
Καὶ τόσαν ὡδήγευσε καλὰ, 'ς τὸ Παρίσι[1] ἔσωσε.
Τὸν ῥήγαν κῦρηκεν ἐκεῖ· ἑορτὴν μεγάλην εἶχε,
Τὴν λέγουσι Πεντηκοστὴν, ὁ ῥήγας ἑωρτίαζεν.
2055 Δουλωτικὰ τὸν προσκυνᾷ τὸν ῥήγαν ὁ μέγας κύρης·
Καὶ ἐκεῖνος τὸν ἐδέξατο μετὰ τιμῆς μεγάλης,
Διατὶ ἔμαθεν, ὅτι ἔρχετον ἀπὸ τὴν Ῥωμανίαν·
Ὁ πρίγκιπας ἀπόστελνε μ' ἕνα του καβαλλάρην
Ἐγγράφως τὴν ὑπόθεσιν τὴν ἔπηκε ὁ μέγας κύρης.
2060 Τὸν ῥήγαν ἐπροσκύνησεν ἐκεῖνος ὁ καβαλλάρης,
Καὶ τὸ πιττάκιν τοῦ ἔδωκε τοῦ πρίγκιπος Γυλιάμου.
Καὶ ὁ ῥήγας τὸ ἔδειξέ τον, ὥρισε καὶ ἀναγνώσθη.
Καὶ ἀφότου ἐγνώρισεν καλὰ ὁ ῥήγας γὰρ τὴν πρᾶξιν,
Ὁποῦ ἔπηκε τοῦ πρίγκιπος ἐτότε ὁ μέγας κύρης,
2065 Ὁ ῥήγας γὰρ ὡς φρόνιμος ἐγνώρισεν ἐνταῦθα,
Τὸ πῶς ὁ πρίγκιπας Μωραίως διὰ τὴν τιμὴν τοῦ κόσμου,
Τὸν μέγαν κύρην ἀπέστειλε, ἐκεῖσε γὰρ εἰς αὗτον.

[1] Voy. l'Index géographique.

Διὰ τοῦτο ἐνταῦθα ὥρισεν καὶ ἦλθον οἱ κεφαλάδαις,
Ὁποῦ ἦσαν ἐτότε εἰς τὸ Παρὶς 'ς τὴν ἑορτὴν ἐκείνην·
2070 Ὅλων βουλὴν ἐζήτησε νὰ τὸν ἔχουν συμβουλεύσῃ.
Πολλὰ ἐσυντύχασιν λεπτῶς τὸ πταίσιμον ὁποῦ ἐπῆκεν
Ὁ μέγας κύρης, σὲ λαλῶ, τοῦ πρίγκιπος Γυλιάμου·
Καὶ ὅσον ἐλάλησαν πολλὰ, κύρασι τὴν ἀλήθειαν.
Τὸν μέγαν κύρην ἐλάλησαν, ὁμοίως τὸν καβαλλάρην·
2075 Ἀπόκρισιν τοὺς ἔδωκαν ἀμφότερων τῶν δύο.
Ἐκ στόματος τοὺς τὸ εἶπασιν, καὶ ἐγγράφως τοὺς τὰ ἐδῶκαν·
Καὶ ὁ μέγας κύρης ἔστεκε, καὶ αὔκραζε τὰ λόγια.
Ἕνας μπαροὺς ἐβάσταξε τοὺς λόγους γὰρ τῆς κούρτης·
Τὸν καβαλλάρην ἔκραξε, καὶ λέγει πρὸς ἐκεῖνον·
2080 «Ἄκουσον, φίλε καὶ ἀδελφὲ, καταλάβε τοὺς λόγους,
«Τὸ τί σὲ ἀποκρίνεται ἡ κούρτη τῆς Φραγκίας.
«Εἰ μὲν ἦτον ποιήσοντα ἐδῶ ὁ μέγας κύρης
«Τὸ ὁμάντζιον τοῦ αὐθέντου του, τοῦ πρίγκιπος Γυλιάμου,
«Καὶ μετὰ τοῦτο ἐβάσταξεν ἄρματα πρὸς ἐκεῖνον,
2085 «Καὶ εἰς κάμπον ἐπολέμησεν εἰς πρόσωπον μετ' αὐτὸν,
«Ὁ νόμος ὁρίζει τον, καὶ ἡ κρίσις ἀπαιτεῖ τον,
«Νὰ ἦτον ἀκληρονόμητος ἐκεῖνος καὶ ἡ γενεά του
«Ἀπ' ὅσον τόπον καὶ αὐθεντειὰν ἐκράτειεν ἀπ' ἐκείνου.
«Ὡς δὲ τὰ λέγει τὸ ἔγγραφον, ὁποῦ ἤφερες ἐνταῦθα,
2090 «Καὶ εἶπες μας καὶ ἐκ στόματος εἰς τὸ ἐμφανὲς τῆς κούρτης,
«Ὅτι ποτὲ οὐκ ἔπῆκεν ὁμάντζιον ὁ μέγας κύρης
«Τοῦ αὐθέντου σου, τοῦ πρίγκιπος ἐκεῖνου τοῦ Μωραίως,
«Οὐδὲν φέρνει τὸ πταίσιμον εἰς ἀκληριὰν τὸ πρᾶγμα.
«Ὅμως ἀκατὸ ἠξευρεν καὶ ἐγνώριζεν ἀτός του ὁ μέγας κύρης
2095 «Καθὼς εἶχε τὸν ὁρισμὸν ἐκ τὸν πρώην αὐτοῦ αὐθέντην,
«Τὸν ῥήγαν τοῦ Σαλονικίου νὰ ποιήσῃ ὁμάντζιο,
«Οὐδὲν ἐτύχαινε ποσῶς ἄρματα νὰ βαστάξῃ,

« Ἀλλ' οὐδὲ μάχην νὰ μαχηστῇ μὲ τὸν αὐθέντην ἐκεῖνον'.
« Λοιπὸν ἀφότου ἀπέστειλεν ὁ πρίγκιπας Γυλιάμος
2100 « Τὸν μέγαν κύρην καὶ ἦλθεν ἐδῶ 'ς τοῦ αὐθέντου μας τὴν κούρτην,
« Καὶ ἦλθεν ἀτός του πρόθυμα ἀνταμοιβὴν νὰ ποιήσῃ,
« Καὶ ἦλθεν μὲ ἔξοδον πολλὴν, μὲ κόπον καὶ μὲ μόχθον,
« Καὶ τὸ ταξεῖδι του μακρεὰ, ὡς ἔνι γὰρ καὶ ἡ ἀλήθεια,
« Τοῦ νὰ ἔλθῃ ἀπὸ τὴν Ῥωμανιὰν ἐδῶ εἰς τὴν Φραγκίαν,
2105 « Καὶ πάλαι γὰρ διὰ τιμὴν ἐτετοίου μεγάλου αὐθέντου,
« Ὡς ἔνι ὁ αὐθέντης μας ἐδῶ, ὁ ῥήγας δὲ τῆς Φραγκίας,
« Ἁρμόζει ἡ ἀνταμοιβὴ, καὶ ἂς ἔνι συμπαθημένος. »
Καὶ ὡσὰν ἐπλήρωσε ὁ μπαροὺς[2] ἐτοῦτο, ὁποῦ σᾶς γράφω,
[Ὁ μέγας κύρης στέκοντα ἐνώπιον γὰρ τῆς κούρτης,]
2110 Τὸ καπεραύκι[3] του εὔγαλεν, καὶ φρόνιμα ἀπεκρίθη·
Τὸν ῥήγαν εὐχαρίστησεν, καὶ μετ' αὐτοῦ τὴν κούρτην.
Καὶ μετὰ ταῦτα δεόμενος, τὸν ῥήγαν ἐπαρακάλει
Νὰ γράψῃ πρὸς τὸν πρίγκιπα τὴν τήρησιν τῆς κούρτης,
Τὴν κρίσιν, ὁποῦ ἐπῆκαν, καὶ τὴν ἀπόφασίν της.
2115 Καὶ ὁ ῥήγας, ὡς εὐγενικὸς, ὥρισεν καὶ ἔπηκάν το.
Καὶ ἀφότου ἐπῆκαν τὰ χαρτιὰ, καὶ ἐγένετον τὸ τέλος,
Ἀτός του ὁ ῥήγας ἔκραξε τότε τὸν μέγαν κύρην,
Καὶ λέγει οὕτως πρὸς αὐτὸν μετὰ γλυκέας τῆς γνώμης·
« Ἐσὺ ἦλθες ἐκ τὸν τόπον σου ἐδῶ ἐκ τὴν Ῥωμανίαν
2120 « Μὲ κόπον καὶ μὲ ἔξοδον ἐδῶ εἰς τὴν βασιλειάν μου,
« Καὶ οὐκ ἤθελε εἶσθαι ἔμπρεπον νὰ ἐστράφης ὀπίσω,
« Χωρὶς νὰ λάβῃς ἀπ' ἐμοῦ ἀνταμοιβὴν καὶ χάριν.

[1] L'interprétation des lois féodales pouvait laisser des doutes dans les pays de conquête, aussi Guillaume de Ville-Hardoin consulta-t-il la cour de France comme source du droit féodal.

[2] Baron. Voy. le Glossaire.

[3] Chaperon. Voy. le Glossaire.

« Διὰ τοῦτο λέγω πρὸς ἐσέ, ἀπόκοτά με ζήτα,
« Εἴ τι σὲ φαίνεται ἀπ' ἐμοῦ νὰ σὲ τὸ εὐεργετήσω. »
2125 Ἀκοῦσον ταῦτα ὁ φρόνιμος ἐκεῖνος ὁ μέγας κύρης,
Τὸν ῥήγαν ἐπροσκύνησε, καὶ μυριοευχαριστᾷ τον·
Ἐσκόπησε μικρούτζικον, καὶ ἐνταῦθα ἀπεκρίθη·
« Εὐχαριστῶ τὸ στέμμα σου, αὐθέντη, τὴν βασιλειάν σου,
« Ὅταν ἔχῃς τὴν ὄρεξιν τοῦ νὰ μ' εὐεργετήσῃς.
2130 « Ἐν τούτῳ λέγω, αὐθέντη μου, τοῦ κράτου σου τοῦ ἁγίου,
« Ὅτι ἡ αὐθεντεία τῶν Ἀθηνῶν, ὁποῦ ἔχω καὶ κρατῶ την,
« Εἴ τις τὴν εἶχεν ἔκπαλαι δοῦκαν τὸν ὠνομάζαν·
« Καὶ ἂν ἦναι ἀπὸ τοῦ λόγου σου καὶ ἀπὸ τοῦ ὁρισμοῦ σου,
« Ἀπάρτι γὰρ καὶ ἔμπροσθεν δοῦκαν νὰ μὲ ὀνομάζουν. »
2135 Καὶ ὁ ῥήγας ὡς τὸ ἤκουσε, μεγάλως τὸ ἀπεδέχθη·
Ὥρισεν καὶ ἐθρονιάσαν τον εἰς τὸ παλάτι ἀπέσω.
Ἐν τούτῳ θέλω ἀπὸ τοῦ νῦν νὰ παύσω καὶ νὰ λέγω
Περὶ τοῦ ῥήγα τῆς Φράγκιας καὶ τῆς Ἀθηνοῦ τοῦ δοῦκα
Καὶ θέλω νὰ σὲ ἀφηγηθῶ καὶ νὰ σὲ καταλέξω,
2140 Τὸ πῶς ὁ πρίγκιπας Μωραιὼς, ἐκεῖνος ὁ Γυλιάμος
Ἐπιάσθη 'ς τὴν Πελαγονιὰν ἐκεῖνος καὶ ὁ λαός του.
Καθὼς ἠκούσετε ἐδῶ ὀπίσω 'ς τὸ βιβλίον μου,
Τὸ πῶς ἐσυμβιβάσθηκε δεσπότης ὁ Κουτρούλης
Μετὰ τὸν πρίγκιπα Μωραιὼς ἐκεῖνον τὸν Γυλιάμον,
2145 Τὴν ἀδελφήν του ἔδωκεν ὁμόζυγον γυναῖκαν·
Ἀπ' αὐτὴν τὴν συμπεθεριὰν ἐπλήθυνε ἡ ἀγάπη
Ἀνάμεσον τοῦ πρίγκιπος καὶ ἐκείνου τοῦ δεσπότου.
Οὕτως γὰρ ἠγαπούντησαν ἐκεῖνος καὶ ὁ λαός τους,
Ὡς περ νὰ ἦσαν ἑνομοῦ ὅλοι ἀπὸ μιὰν μητέρα.
2150 Λοιπὸν ὡσὰν ἐπλήθυνε ἡ μάχη τοῦ βασιλέως,
Ὁποῦ ἀγωνιέτον πάντοτε κὺρ Θεόδωρος ὁ δοῦκας,
Ἐκεῖνος ὁ σεβαστοκράτορας, ἐτότε πρὸς τὸν δεσπότην,

Ὁ δεσπότης γὰρ ἐσκόπησε τὸν βασιλεὰ νὰ βλάψῃ.
Ὁρίζει, γράφουν γράμματα, μαντατοφόρους στέλνει
2155 Ἐκεῖσε γὰρ εἰς τὸν Μωραιὰν 'ς τὸν πρίγκιπα Γυλιάμον,
Ὅπως νὰ γένῃ ἕνωσις, νὰ ἐσμίξουσιν οἱ δύο,
Βουλὴν νὰ ἐπάρουν ἐνομοῦ διὰ ὑπόθεσιν μεγάλην,
Νὰ βλάψουσι τὸν βασιλεὰ, καὶ νὰ τὸν ἔχουν ζημιώσει.
Καὶ ὡς τὸ ἤκουσεν ὁ πρίγκιπας, καὶ ὡς τὸ ἐπληροφορήθη,
2160 Ἐπῆρε τοὺς καβαλλαριοὺς καὶ τοὺς φλαμπουριάρους του.
Ὁλόρθα ἐκεῖσε διάβηκεν εἰς τὴν παλαιὰν τὴν Πάτραν.
Εἰς τὸν Ἔπακτον[1] ἀπέσωσεν ἐτότε ὁ δεσπότης·
Ἀπὸ τὸν Δρέπανον[2] περνᾷ, καὶ ἦλθεν εἰς τὴν Πάτραν·
Ἑνώθη μὲ τὸν πρίγκιπα ἐκεῖνον τὸν γαμβρόν του.
2165 Χαρὰν μεγάλην ἔπηκαν ἐκεῖνοι καὶ ὁ λαός τους·
Καὶ ὅσον ἐπεριχάρησαν καλὰ εἰς τὴν ὄρεξίν τους,
Ἐκάθησαν ἀμφότεροι μετὰ τοὺς κεφαλάδαις,
Καὶ ὅλους τοὺς φρονιμώτερους, ὁποῦ εἶχασι μετ' αὔτους.
Ἐνταῦθα ἄρχισεν λαλεῖ ἐκεῖνος ὁ δεσπότης,
2170 Νὰ λέγῃ παραπόνεσαις ἐκ ταῖς ζημιαῖς ὁποῦ εἶχεν
Ἐκ τὸν σεβαστοκράτορα ἐκεῖνον τὸν ἀδελφόν του.
Καὶ ὅσον ἀποπλήρωσε ταῖς παραπόνεσαίς του,
Ὅλοι οἱ φρονιμώτεροι ἀπὸ τὸ Δεσποτάτον
Βουλὴν ἐδῶκαν δολερὴν· ὕστερον ἐμετανοῆσαν,
Εἰς ταῖς κατούναις τῶν Ῥωμαίων ἀπλίκευσαν οἱ Φράγκοι.
7700 Εἰς τὴν τένταν γὰρ τοῦ πρίγκιπος ἀπῆλθεν ὁ δεσπότης,
Ὡσαύτως οἱ φλαμπουριαροὶ γάρ, οἱ πρῶτοι τοῦ φουσάτου·
Βουλὴν ἀπήρασιν ὁμοῦ, τὸ πῶς θέλουσιν διάξει.
[Εἰς τέλος γὰρ ἰσιάσθησαν νὰ ἀπέλθουν ἀπὸ ὀπίσω[1]]
Ἐκείνων, ὁποῦ ἐφεύγασιν· πολλάκις μὴ τοὺς σώσουν,
7705 Καὶ πολεμήσουν μετ' αὐτοὺς, καὶ ἐπάρουσιν τὸ νίκος.
Εἴτε καὶ οὐδὲν τοὺς σώσουσι, θέλουσι καὶ κουρσεύσει
Τοὺς τόπους γὰρ τοὺς βασιλεὼς ἐκεῖ εἰς τὴν Ῥωμανίαν.
Ἐπὶ τῆς αὔριου γὰρ τὸ πρωὶ ἐκίνησαν καὶ ὑπάγουν.
Τῶν ἀντιδίκων τὴν ὁδὸν ὁλόρθα ὡδηγεύγουν.
7710 Ὁ πρίγκιπας ἐλάλησε, καὶ ἦλθεν ὁ δεσπότης,
Καὶ λέγει οὕτως πρὸς αὐτὸν νὰ ὀρθώσῃ ἐκεῖ τὸν λαόν του,
[Τινὲς μὲ ἄλογα ἐλαφρὰ νὰ σώσουν τοὺς Ῥωμαίους,]
Νὰ εἰποῦσι τοῦ δομεστικοῦ, τοῦ πρώτου τοῦ φουσάτου,
Ἐκ μέρους γὰρ τοῦ πρίγκιπος ὁμοίως καὶ ἐκ τὸν δεσπότην,
7715 Τὸ πῶς τοὺς ἀνακράζουσι καὶ νὰ τοὺς ἀναμείνουν,
Τοῦ νὰ παραδιαβάσωσιν ἀλλήλως εἰς τὸν κάμπον·
Ἐπειδὴ οὐκ ἦτον χρήσιμον εἰς τέτοιον ἐξάκουστον στρατιώτην
Νὰ ἔλθῃ γυρεύοντα στρατίας τρόπον νὰ πολημήσῃ,
Καὶ ἀφότου εὗρε τὸν πόλεμον ἕτοιμον, νὰ μισεύσῃ.
7720 Ἐκεῖνοι, ὁποῦ ὡρίσθησαν νὰ ἀπέλθουν εἰς τοὺς Ῥωμαίους,
Γοργὸν πολλὰ ἐσπουδάξασιν· σύντομα τοὺς ἐφθάσαν,
[Ἐκεῖσε ὁποῦ ὑπαγαίνασιν, ἐκ τῆς Βλαχίας τὰ μέρη.]
Ἀπὸ μακρόθεν τοὺς λαλοῦν μαντατοφόροι εἶναι,
Καὶ νὰ τοὺς δέξωνται νὰ εἰποῦν τὰ εἶναι ὁρισμένοι.
7725 Ὥρισεν ὁ δομέστικος, καὶ ἀφροντισιὰν τοὺς κάμνουν,

[1] Le ms. de Paris dit:

Καὶ οὕτως ἀφιρώσασι κατώπισθε νὰ τρέχουν.

Καὶ ἦλθαν καὶ ἐπλησίασαν, καὶ λέγουν πρὸς ἐκεῖνον.
« [Κύρης μου, ὁ πρίγκιπας Μωραΐως εἰθούτως καὶ ὁ δεσπότης]
« Τὴν εὐγένειάν σου χαιρετοῦν φίλον καὶ ἀδελφόν τους.
« Ἐσὺ ἦλθες ἐκ τὸν βασιλέα με τὰ φουσάτα ὁποῦ ἔχεις[1],
7730 « Γυρεύοντα νὰ μαχηστῇς, μετὰ ἄλλους νὰ μαθήσῃς·
« Καὶ ἀφῶν ηὗρες τὸ ἤθελες, καὶ ἐκεῖνον ὁποῦ γυρεύεις,
« Παρακαλοῦν σε, ἀνάμεινε εἰς τόπον ἐπιδέξιον,
« Νὰ ἔλθουν μὲ τὰ φουσάτα τους, νὰ ἔχετε πολεμήσει.
« Καὶ ὡς φρόνιμος καὶ εὐγενικὸς ποίησον τὴν τιμήν σου,
7735 « Μὴ σὲ ἀναγκάσωσι τινὲς, καὶ ἀφήκῃς τὴν τιμήν σου,
« Καὶ πέσῃς εἰς κατηγοριὰν, καὶ ὁ βασιλέας χολιάσῃ. »
Ἐκεῖνος ἀποκρίθηκε, καὶ λέγει πρὸς ἐκείνους·
« Ἐγὼ τὸν πρίγκιπα Μωραΐως ὁμοίως καὶ τὸν δεσπότην,
« Ὡς ἀδελφοὺς καὶ φίλους μου, πολλὰ τοὺς χαιρετίζω·
7740 « Καὶ εἰπέτε τον εἰς πληροφοριὰν, ἐκ μέρους ἐδικοῦ μου,
« Ὅτι ἐὰν ἦτον ὁ λαὸς τοῦ βασιλεὼς, ὁποῦ ἔχω,
« Εἰς ἐδικόν μου θέλημα, νὰ ἔπηκα τὸ κελεύουν·
« Ἀλλὰ ἐδῶ εὑρίσκονται Τοῦρκοι γὰρ καὶ Κουμάνοι,
« Ὁποῦ ἔχουν κεφαλάδες τους καὶ ἐμέναν οὐ φροντίζουν. »
7745 Τὸ ἀκούσει τὴν ἀπόκρισιν, ἐστράφησαν ὀπίσω.
Στρεφόμενοι γὰρ ἤβρασιν πλείστους τινὲς ἀνθρώπους,
Ὁποῦ εἶχαν ἄλογα ἔρημα, τὰ ἦσαν ἀποσταθόντα,
Καὶ ἄλλων πολλῶν τὰ ἅρματα, ὁμοίως καὶ ταῖς κατούναις,
Τὰ ἔρρικταν ἐτότε φεύγοντα ἐκεῖνα τὰ φουσάτα.
7750 Καὶ ἐπήρασιν τὰ ἠμπόρεσαν καὶ ἦλθαν εἰς τὸ φουσάτον,
Καὶ εἶπαν τὴν ἀπόκρισιν τοῦ μεγάλου δομεστίκου.
Καὶ ὡς τὸ ἤκουσεν ὁ πρίγκιπας εἰθούτως καὶ ὁ δεσπότης,

[1] Le ms. de Paris dit :
Ὡς φίλον δὲ καὶ ἀδελφὸν, ἐτοῦτο σὲ μηνοῦσιν.

Ὅτι ὑπαγαίνουν φεύγοντα, τὸ πλεῖον ὁποῦ ἠμποροῦσιν,
Ὥρισαν τὰ φουσάτα τους, καὶ ἐβάλθησαν εἰς τὸ κούρσος.
7755 Ἐξήλειφαν, καὶ ἐρήμωναν τοὺς τόπους τοῦ βασιλέως.
Πολὺν κοῦρσον ἐκέρδισαν, πολλοὺς ἀνθρώπους ἐπιάσαν.
Ὁ τόπος ἦτον ἄφοβος, οἱ ἄνθρωποι ἀποθαρροῦσαν
Διὰ τὰ φουσάτα ὁποῦ ἔστεκαν 'ς τὸ κάστρον τῶν Γιαννίνων.
Ἀφνίδια τοὺς ὑπόπεσαν, ζημίαν μεγάλην ἐπήκαν.
7760 Ἐκείνη γὰρ ἡ ἱπποδρομή, τὸ κοῦρσον, ὁποῦ σᾶς λέγω.
Οὐδὲν ἀδικήσεν πολλά, ἄνευ καὶ ἡμέραις δύο,
Ἐπὴν μαντάτα ἠφέρασιν ἐτότε τοῦ δεσπότου,
Τὸ πῶς ἐκαταβάλασιν εἰς τὸν κόρφον τῆς Ἄρτας,
Κάτεργα ἑξῆντα ἤλθασι, καὶ εἶναι τῶν Γενουβίσων·
7765 Ἐπίζευσαν 'ς τὴν Πρέβεζαν, κουρσεύγουν τὰ χωρία,
Ὥρμησαν νὰ ἔρχωνται ὁλόρθα εἰς τὴν Ἄρταν.
Τὸ ἀκούσει γὰρ καὶ μάθει το ἐτότε ὁ δεσπότης,
Μεγάλως τὸ ἐφοβήθηκεν, εἰς σφόδρα τὸ ἐλυπήθη,
Διατὸ ἐλογήσετον εὐθέως ὅτι τὰ κάτεργα εἶναι,
7770 Τὰ ἐρόγευσεν ὁ βασιλέας, ἐκεῖνα τῶν Γενουβίσων,
Νὰ ἐλθοῦσιν καταπάνω του νὰ τὸν ἔχουν ζημιώσει[1].
[Ἐνταῦθα ἐρώτησεν εὐθέως ὁ πρίγκιπας ποῦ ἔκι.
Ἐμίσεψεν ἐκ τὸ ἀλάγι του καὶ ἐδιάβη πρὸς ἐκεῖνον.
Εἶπεν καὶ ἀφηγήθη του ἐκεῖνα τὰ μαντάτα,
7775 Τὸ πῶς ἦλθαν τὰ κάτεργα, ἐκεῖνα τῶν Γενουβίσων,
Καὶ ἐπέζευσαν εἰς τὴν Πρέβεζαν, κουρσεύουν τὰ χωρία

[1] Au lieu de ces trois vers le ms. de Paris contient les trois vers suivants :

Διοῦ τὸν ἐπληροφόρησαν, ὅτι ἔν' τοῦ βασιλέως.
Τὰ εἶχε ρογεύσει ἀπ' αὐτοὺς, λέγω τοὺς Γενουβίσους,
Καὶ ἔρχονται ἐπάνω του, ζημίαν νὰ τοῦ κάμουν.

Καὶ ὡρμήσασιν καὶ ἐρχόντησαν ὁλόρθα εἰς τὴν Ἄρταν'·]
« Καὶ ἔχω φόβον ἄμετρον μὴ πιάσωσι τὴν χώραν. »
Ἐν τούτῳ τοῦ ἀπεκρίθηκεν ὁ πρίγκιπας καὶ εἶπε·
7780 « Γίνωσκε, θεῖε δεσπότη μου, μὲ ἀλήθειαν σὲ τὸ λέγω,
« Ἐγὼ διὰ τοῦτο ἦλθα ἐδῶ, καὶ ἄφηκα τὸν Μωραίαν,
« Διὰ νὰ εἶμαι εἰς τὴν βοήθειάν σου 'ς τὴν μάχην, ὁποῦ ἔχεις.
« Λοιπὸν ἕως ὅτου εὑρίσκομαι ἐδῶ εἰς τὸ δεσποτάτον,
« Ὅριζε, τί με χριάζεσαι, καὶ ἐγὼ νὰ τὸ πληρόνω. »
7785 Ἐνταῦθα τὸν εὐχαριστᾷ μεγάλως ὁ δεσπότης.
Εὐθέως ὁρίζει ὁ πρίγκιπας τὸν πρωτοστράτορά του,
Καὶ τὸ σαλπίγγι ἐλάλησεν, νὰ ποιήσουν στρέμμα ὀπίσω[1].
[Τὸ ἀκούσει το τὰ ἀλάγιά τους, ὀπίσω στρέμμα ἐπῆκαν
Ἐκεῖ ὁποῦ ἐκατουνέψασιν· ἀλάγια τρία ἐχωρῆσαν,
7790 Χιλίους ἀπάνω εἰς τὰ ἄλογα, καὶ ὁρίσαν τους νὰ ἀπέλθουν,
Σπουδαστικὰ νὰ σώσουσιν εἰς τῆς Ἄρτας τὴν βοήθειαν·
« Μὴ προῦ ἀποσώσουσιν ἐκεῖ ὁ στόλος τῶν κατέργων,
« Ἐπεὶ καὶ ἡμεῖς ἐρχόμεθεν ὁλόρθα ἀποπίσω. »
Ἐνταῦθα ἐκινήσασιν καὶ πάντα ὑπαγαίνουν.
7795 Ὁ δὲ λαὸς τοῦ βασιλέως, ὁποῦ ἦσαν εἰς τὰ ξύλα
Ἐκεῖσε εἰς τὰ κάτεργα μετὰ τοὺς Γενουβίσους
Καὶ ἐξέβησαν εἰς τὴν γῆν, ἐπιάσασιν ἀνθρώπους,
Καὶ ἐρώτησαν νὰ τοὺς εἰποῦν τὸ ποῦ ἔνι ὁ δεσπότης,
Καὶ ἂν ἔχῃ δύναμιν καμμίαν, ξένον λαὸν μεταύτον.
7800 Καὶ ἐκεῖνοι γὰρ τοὺς εἴπασιν καὶ ἐπληροφόρησάν τους,
Τὸ πῶς ἦλθεν ὁ πρίγκιπας, ἐκεῖνος τοῦ Μωραίως,

[1] Au lieu de ces six vers on lit les deux suivants dans le ms. de Paris :

Εἰς τοῦτο ἐδιέβηκε σύντομα ὁ δεσπότης
Ἐκεῖ, ὁποῦ ἦτον ὁ πρίγκιπας, καὶ εἶπέ του τὰ μαντάτα.

[2] Avec ce vers se termine le manuscrit de Paris.

Καὶ ὁ κόντος τῆς Κεφαλωνιᾶς, μὲ ὅλα τους τὰ φουσάτα·
Καὶ εὐθέως τὸ σώσει ἐκεῖνοι ἐδῶ καὶ ἀκοῦσαν τὰ μαντάτα,
Ὅτι ὁ μέγας ὁ δομέστικος, μὲ τὰ φουσάτα ὁποῦ εἶχεν,
7805 Ἦλθε καὶ ἐπαρακάθετον τὸ κάστρον τῶν Γιαννίνων,
Ὥρμησαν καὶ ὑπαγαινασιν ὁλόρθα ἐκεῖ εἰς αὔτους·
Καὶ ἐκεῖνος γὰρ τὸ μάθει το, ἐμίσεψεν καὶ ἐφύγεν·
Καὶ ἐκεῖνοι ὑπάγουν δώχνοντα διὰ νὰ τοὺς ἔχουν σώσει·
«Καὶ ἀρτίως μᾶς εἴπασιν τινὲς, ὅλους ἐκατεκόψαν,
7810 «Καὶ στρέφονται χαιρόμενοι τώρα καταλαμβάνουν.»
Τὸ ἀκούσει το οἱ ἄρχοντες ἐκεῖνοι τῶν κατέργων,
Τὰ τριπουντζέτα ὁποῦ εἶχασιν εὐγάλει καὶ ταῖς σκάλαις,
Νὰ ὑπάγουν νὰ πολεμήσουσιν τῆς Ἄρτας γὰρ τὸ κάστρον,
Σπουδαίως πάλαι τὰ ἐστρέψασιν ἀπέσω εἰς ταῖς ταρίταις.
7815 Ἐνταῦθα τοὺς ἠφέρασιν καὶ ἐτοῦτα τὰ μαντάτα
Ὅτι ἐκαταλάβασιν, τὰ φράγκικα φουσάτα,
Ἀπόστειλαν διὰ τὸν λαὸν ὁποῦ εἶχαν εἰς τὸ κούρσο,
Ἐν ᾧ εἶχαν δράμει τὰ χωρία καὶ κάψει καὶ τοὺς τόπους,
Τὰ μέρη τῆς Βαγενετίας, τὰ ἦσαν πρὸς τῆς θαλάσσης,
7820 Ὅλα τὰ ἐκουρσεύσασιν καὶ ἐχμαλωτίσανέ τα.
Ἐνταῦθα γὰρ ἐσώσασιν καὶ ἐκεῖνοι τοῦ δεσπότου,
Χίλιοι ἀπάνω εἰς τὰ ἄλογα ὁποῦ τοὺς ἀποστεῖλαν.
Καὶ ὅσους ἀπόφθασαν εἰς τὴν γῆν, Ῥωμαίους καὶ Γενουβίσους,
Ὅλους τοὺς ἐκατέκοψαν, καὶ ἄλλους τινὲς ἐπιάσαν.
7825 Ἐνταῦθα ἀπήρασι βουλὴν ἐκεῖνοι τῶν κατέργων
Τὸ πῶς νὰ ποιήσουν τίποτε νὰ βλάψουν τὸν δεσπότην·
Καὶ εἶπαν οἱ φρονιμότεροι ὁποῦ ἦσαν παιδευμένοι·
«Ἐσεῖς ἐξεύρετε καλὰ, πρέπει νὰ τὸ ἐνθυμᾶσθε,
«Τοῦ βασιλέως τὸν ὁρισμὸν τὸ πῶς ἐκατορθῶσε,
7830 «Νὰ ἔλθῃ ὁ μέγας δομέστικος, μὲ τὰ φουσάτα ὁποῦ εἶχεν,

« Εἰς τὸ δεσποτάτο, νὰ 'σεβῇ ἐκεῖνος ἐκ τὴν στερέαν,
« Καὶ ἡμεῖς ἀπὸ τὸ πέλαγος νὰ ἐλθοῦμεν τῆς θαλάσσης,
« Νὰ μᾶς βοηθοῦν, καὶ ἡμεῖς αὐτῶν, ὡς μᾶς βολήσει ὁ τόπος.
« Λοιπὸν ἀφότου ἐφύγεν δίχα νὰ πολεμήσῃ,
7835 « Καὶ ἀπῆρεν τὰ φουσάτα, ὁποῦ εἴχαμεν τὸ θάῤῥος,
« Καὶ ἐβλέπετε ὅτι ὁ πρίγκιπας καὶ ὁ κόντος μετ' ἐκεῖνον
« Ἦλθαν μὲ τὰ φουσάτα τους καὶ εἶναι μὲ τὸν δεσπότην,
« Πῶς ἠμποροῦμεν ἡμεῖς πεζοὶ νὰ βλάψωμεν τὸν τόπον;
« Ἴδετε πῶς ἐχάσαμεν τὰ πεζικὰ ὁποῦ ἤθραν,
7840 « Τοῦ δεσπότου ὁ λαὸς ὁποῦ ἦσαν καβαλλάροι·
« Ὅμως ἂς ἀναμείνωμεν ἕως οὗ νὰ ἐλθῇ ὁ δεσπότης,
« Νὰ ἰδοῦμεν καὶ τὸν πρίγκιπα, τὸ τί φουσάτα ἔχει,
« Νὰ ἐπάρωμεν πληροφορίαν εἰς τὸν ἅγιον βασιλέαν. »
Λέγοντα ἐτούτην τὴν βουλὴν ἔσωσεν καὶ ὁ δεσπότης,
7845 Εἰθούτως γὰρ καὶ ὁ πρίγκιπας μὲ τὰ φουσάτα ὁποῦ εἶχεν.
Καὶ ὡς τὸ ἤκουσαν καὶ ἔμαθαν ὅτι εἰς τὸ κάστρον Ἄρτας
Οὐδὲν ἐδιάβησαν ποσῶς ἐκεῖνοι οἱ Γενουβίσοι,
Πολλὰ τὸ ἐδείξετον καλὸν ἀτός του ὁ δεσπότης,
Καὶ οὐδὲν ἐψήφησεν ποσῶς τὰ κούρση τῶν χωρίων.
7850 Τὸ μάθει ὅτι τὰ κάτεργα στέκουν εἰς τὸν λιμιῶνα·
Ἀκοῦσον ταῦτα ὁ πρίγκιπας λέγει πρὸς τὸν δεσπότην·
« Ἀφῶν στήκουν τὰ κάτεργα ἀκόμη εἰς τὸν λιμιῶνεν,
« Μηδὲν πεζέψομεν ἀλλαχοῦ εἰ μὴ ἐκεῖ ἂς ὑπᾶμε
« Μὲ τὰ φουσάτα μας ὁμοῦ, πεζοὶ καὶ καβαλλάροι·
7855 « Ἐκεῖσε ἂς τεντώσωμεν ἐνάντιον τῶν κατέργων,
« Τὸν τόπον νὰ φυλάξωμεν, μὴ πιάσῃ, καὶ πεζέψουν,
« Καὶ ποιήσουν τίποτε ζημίαν καὶ ἕνι κατηγοριά μας. »
Ὡς τὸ ὥρισεν ὁ πρίγκιπας οὕτως καὶ ἐγενέτον.
Ἐδώκαν τὰ σαλπίγγια τους, ἐκίνησεν τὸ φουσάτο.

7860 Ὁλόρθα ἐκεῖ ἀπήλθασιν ὅπου ἦτον ὁ λιμιῶνας
Ὅπου ἔστεκαν τὰ κάτεργα, ἐκεῖνα τῶν Γενουβίσων.
Ἐκεῖσε ἐτεντώσασιν καὶ ἐπιάσαν ταῖς κατούναις.
Ἰδὼν τοῦτο τὰ κάτεργα ἐσέβησαν παρέσω
Καὶ ἐπήρασιν τὰ σίδερα, καὶ ἐστῆκαν εἰς τὸ βάθος.
7865 Τοῦ πρίγκιπος ἐζήτησεν βουλὴν γὰρ ὁ δεσπότης
Τὸ τί τοῦ φαίνει νὰ γενῇ καὶ πῶς νὰ ἔχουσιν πράξει·
Καὶ ὁ πρίγκιπας, ὡς φρόνιμος, λέγει πρὸς τὸν δεσπότην·
« Ἐμέναν φαίνεται, καλέ μου θεῖε, νὰ στήκωμεν ἐνταῦθα,
« Ἐδῶ ὁποῦ ἀπλικέψαμεν, μὴ πιάσουν καὶ πεζέψουν,
7870 « Μήτε νερὸν νὰ ἐπάρουσιν, μήτε ζημίαν ποιήσουν.
« Καὶ στεῖλε εἰς τὰ ἐξώμερα φουσάτα νὰ φυλάξουν
« Τὸν τόπον ἐκεῖνον γὰρ ὁμοίως, μὴ ποιήσουν ζημίαν. »
Ὡς τὸ ὥρισεν ὁ πρίγκιπας, τὸ ἐπῆκεν ὁ δεσπότης.
Ἰδὼν ἐτοῦτο οἱ Ῥωμαῖοι, ὁμοίως καὶ οἱ Γενουβίσοι
7875 Ὁποῦ ἦσαν εἰς τὰ κάτεργα ἐκεῖνα τοῦ βασιλέως,
Μεγάλως ἐθαυμάσθησαν τὸ ποῦ ἤβρεν ὁ δεσπότης
Τόσον λαὸν καὶ εὔμορφον, καὶ τὰ φουσάτα ὁποῦ εἶχεν,
Καὶ πάλιν ἐπαινέσασι τὸν πρίγκιπα εἰς σφόδρα·
Καὶ εἶπαν ὅτι ἡ στρατία καὶ ἡ τάξις τοῦ φουσάτου,
7880 Ἐκεῖνος γὰρ τὰ ἐδιόρθωνε ὁποῦ ἦτον παιδευμένος
Ἐκ τῶν Φράγκων τὴν παίδευσιν, τῆς Δύσεως τὴν στρατίαν.
Ἐνταῦθα ἀπήρασιν βουλὴν ἐκεῖνοι τῶν κατέργων,
Ὅτι ἀπάρτε οὐκ ἠμποροῦν ἐκεῖ ζημίαν ποιήσουν
Ὅπου στήκει ὁ πρίγκιπας ὁμοῦ μὲ τὸν δεσπότην·
7885 « Ἀλλὰ ἂς γυρήσομεν ἀπεδῶ, καὶ ὑπᾶμε εἰς ἄλλον μέρος,
« Ἐκεῖσε εἰς τὰ Ξηρόμερα ὅπου ἔνι ἀφοβία;
« Καὶ ἂν λάχῃ νὰ κερδίσωμεν καὶ ποιήσῃ καὶ ζημίαν,
« Διατὸ ἤθελεν ἦσται ἄσχημον νὰ ἐστράφημεν εἰς τὴν Πόλιν
« Ἄνευ νὰ ἐποιήσαμεν ζημίαν εἰς τὸν τόπον τοῦ δεσπότου. »

7890 Ὡς ἂν τὸ ἀπήρασιν βουλὴν οὕτως καὶ τὸ ἐποιῆσαν,
Εσήκωσαν τὰ σίδερα καὶ ἐπιάσαν τὰ κουπία.
Σύντομα ἀποσώσασιν εἰς τῆς Βονίτζας τὰ μέρη[1].]

[1] Ici se termine le manuscrit de Copenhague, auquel manque évidemment un cahier de la fin, qui n'était peut-être pas beaucoup plus considérable que le cahier manquant aussi au commencement.

Η ΑΛΩΣΙΣ

ΤΗΣ

ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

Ἡ βασιλὶς τῶν πόλεων πῶς Ἰταλοῖς ἑάλω,
Καὶ τοῖς Ῥωμαίοις ὕστερον πῶς ἀπεδόθη πάλιν,
Ἐγράφη κατ' ἀκρίβειαν, εἰ σὺ δε βούλῃ μάθοις[1].

Οἱ τὴν Κωνσταντινούπολιν κρατήσαντες Λατῖνοι
Νόμῳ πολέμου λῃστρικῶς τοπάρχαι σὺν τοῖς κόντοις
Ἄνδρες γενναῖοι γίγαντες ὑπῆρχον οὗτοι πάντες·
Πρῶτος Ἐρρῖκος Δάνδολος[2], ὁ δοὺξ τῶν Βενετίκων,
Δεύτερος ὁ μαρκέσιος Μόντης ὁ τῆς Φαράντης,
Κόμης ὁ Βονιφάτιος[3], Φλάντρας ὁ Βαλδοῖνος[4],
Ἐρρῖκος κόμης ἕτερος Παύλου[5] τοῦ πρωτοθρόνου,
Πλέης κόμης Λοδοϊκος[6], ἄλλοι πολλοὶ σὺν τούτοις.

[1] Publié d'après le ms. n° 408, format in-4°, écriture du xv° siècle, de la bibliothèque de Saint-Marc, à Venise, f° 155.
[2] Henri Dandolo.
[3] Le comte Boniface, marquis de Mont-Ferrat.
[4] Baudoin de Flandres.
[5] Le comte Henri de Saint-Paul.
[6] Le comte Louis de Blois.

Ἅπασι δὲ συνήργησε δοὺξ ὁ τῆς Βενετίας·
10 Ὅπως δὲ τοῦτο γέγονε πλατυκωτέρως εἴπω.
Ὁ βριαρόχειρ Μανουὴλ ὁ Κομνηνὸς[1] ἐκεῖνος,
Ὁ πρὸς πολέμους ἰσχυρὸς ὁ δυνατὸς ἐν μάχαις,
Ἀποδιδοὺς ὡς ἄνθρωπος τῇ γῇ τὸ σῶμα τούτου,
Τὸν παῖδα τὸν Ἀλέξιον[2], ὁμόζυγόν τε ξένην
15 Σκῆπτρα κρατεῖν κατέλιπεν αὐτοῖς τὰ τῶν Ῥωμαίων.
Ἑπτακαιδέκατον δ' αὐτὸς ἐπέβη τότε χρόνον
Οὗτος ὁ παῖς Ἀλέξιος ὅτε Ῥωμαίοις ἦρξεν[3].
Ἀλλ' ὁ παμφάγος τύραννος Ἀνδρόνικος ἐκεῖνος[4],
Ὁ βορβορώδης, ἀναιδῶς ἐπιπηδήσας τούτοις,
20 Ἔλαβε τὸ βασίλειον[5] ἄρξας ὁ θὴρ ἀδίκως.
Ὃς παῖδα τὸν Ἀλέξιον καὶ τὴν μητέρα τούτου
Ἀνόμως ἐναπέπνιξε βρόχοις τοῦ ζῆν στερήσας·
Εἶθ' οὕτως σῶμα τὸ πνιγὲν κελεύσας μαστιχθῆναι,
Καὶ σούβλαν τούτου τοῖς ὠσὶν ἀνηλεῶς ἐμπήξας.
25 Ἀπέτεμε τὴν κεφαλὴν ὁ δυσσεβὴς αὐτίκα
Ῥίψας αὐτὴν βόθρῳ τινὶ καὶ βορβορώδῃ τόπῳ.
Τὸ δέ γε σῶμα τοῦ παιδὸς, κεράμῳ μολιβδίνῳ
Συσφίγξας προσαπέρριψε τάχος ἐν τῇ θαλάσσῃ.
Ψευσάμενος τὸ πρότερον ἐν ὅρκοις φρικαλέοις

[1] Manuel Comnène, fils de l'empereur Jean Comnène, et petit-fils d'Alexis Ier, empereur de 1143 à 1180, au préjudice de son frère aîné Isaac.

[2] Alexis était fils de Manuel et de Marie d'Antioche. Il était né en 1167.

[3] Il n'avait que treize ans, puisqu'il était né en 1169 et succéda à son père en 1180.

[4] Andronic était fils d'Isaac et petit-fils d'Alexis Ier.

[5] Andronic Ier monta sur le trône impérial au mois d'octobre 1183 et fut tué le 12 septembre 1185.

30 Δείξας ποτήριον σεπτὸν ἔνδον ἐν τοῖς αὐτοῖς,
Ὡς Ἀλεξίου τοῦ παιδὸς κράτος, ζωήν τε τούτου
Καλῶς φυλάξαι προσειπὼν παντὸς ἑστῶτος κλήρου.
Παιδὸς δὲ τὴν ὁμόζυγα[1] σχὼν οὗτος παρανόμως,
Ἕνδεκα χρόνων τὴν αὐτὴν ὑπάρχουσαν οὐ πλείω,
35 Τὴν δρόσον ἀποστάζουσαν ἀθέσμως ἐμοιχᾶτο,
Γέρων αὐτὸς τριπέμπελος καὶ φαλακρὸς τὴν κάραν.
Ἠμέλησαν ἐσβέσθησαν οἱ κεραυνοὶ πρηστῆρες;
Βαβαί, Χριστέ, κριμάτων σου, βαβαὶ τῆς ἀνοχῆς σου[2]!
Εἶθ' οὕτως εὑρηκὼς αὐτὸς τὸν αἱμοβόρον κῦνα,
40 Ἐκεῖνον τὸν παμμίαρον ἄνδρα Χριστοφορίτην,
Ἢ μᾶλλον τὸν αὐτὸν εἰπεῖν Ἀντιχριστοφορίτην,
Τύραννος οὗτος γέγονε σύμβουλον ἔχων τοῦτον,
Τοῖς αἵμασι τερπόμενος καὶ φόνοις τῶν ἀνθρώπων.
Καταρξας οὖν ὁ βέβηλος ἐπὶ τρισὶ τοῖς χρόνοις,
45 Πάσσις κακίαις ἔχαιρε καὶ λεκανομαντείαις.
Ὃς ὑδρομάντι προσελθὼν ἠρώτα τίς τὸ κράτος,
Αὐτοῦ δ' ἀρχὴν ἁρπάσειε· καὶ τί τὸ τέλος τούτου;
Ὁ δ' ὑδρομάντις κατιδὼν ἡμίσφαιρον σελήνης,
Ἠρώτα ταύτης ὄπισθεν ἔνδον ἐν τῇ λεκάνῃ,
50 Ἔφησεν, Ἰσαάκιος φαίνεται πρὸς λεκάνην;

[1] Agnès, fille de Louis le Jeune, roi de France.

[2] Le copiste de ce ms. ajoute çà et là quelques remarques: au moment où le poète raconte l'attentat d'Andronic, il ajoute en marge: Ἴδε παρανομίαν Ἀνδρονίκου. Ici il s'écrie:

Ὦ τῶν κριμάτων σου, Χριστέ, πῶς παραβλέπεις ταῦτα!

Dans le reste du poème les remarques sont comme un sommaire du récit qui va suivre, et forment un vers que j'ai mis en titre de chapitre.

Ὁ μάντις Ἰσαάκιον ἔδειξεν Ἀνδρονίκῳ.

Ἦν δέ τις Ἰσαάκιος ἄρχων τῆς Κύπρου[1] τότε,
Τὸ γένος ἐκ τοῦ Μανουὴλ τοῦ Κομνηνοῦ κατάγων,
Ὃν τύραννος Ἀνδρόνικος μεγάλως ἐδεδείκει,
Μὴ τυραννίδα τὴν αὑτοῦ καὶ κράτος καταλύσῃ.
55 Ὅθεν ἰδὼν ἐν ὕδατι τὴν κλῆσιν Ἰσακίου,
Ἰσάκιον ὑπώπτευσε τὸν πρὸς τὴν Κύπρον ὄντα.
Ὑπῆρχε μὴν σεπτέμβριος φέρων δεκάτην τότε,
Ἡνίκα τὸ παράνομον ἔβλεπον ἐν λεκάνῃ.
Καὶ πάλιν ἐπηρώτησε τὸν μάντιν· πότε ταῦτα
60 Γενήσονται· κατάμαθε καλῶς πρὸς τῆς λεκάνης.»
Ἡ δὲ μαντεία ναί φησι τέσσαρες καὶ δεκάτην
Φέροντος τούτου τοῦ μηνὸς γενήσεται τὸ μέλλον.

Οὐκ ἔστι πρόῤῥησις ψευδὴς ἀλλ' ἀληθὴς ὑπάρχει.

Ἐγέλασεν Ἀνδρόνικος εἰπὼν Χριστοφορίτῃ·
«Πῶς οὗτος Ἰσαάκιος ἐν τέσσαρσιν ἡμέραις
65 «Ἀπὸ τῆς Κύπρου πρὸς ἡμᾶς δυνήσεται περάσαι;
«Ψευδὴς ὑπάρχει τοιγαροῦν ἡ λεκανομαντεία.»
— «Ἀλλ' ἔστιν, οὗτος ἔφησεν, ἄλλος ἐκ τῶν Ἀγγέλων
«Ἰσάκιος καλούμενος, καὶ μὴ πρὸς τοῦτον μᾶλλον
«Ἡ τῆς μαντείας πρόῤῥησις τὰ μέλλοντα προλέγῃ;
70 «Βαβαὶ λοιπὸν Ἰσάκιος ἐτάχθη φονευθῆναι!»
Ἀπῆλθεν οὖν ὁ τύραννος πέραθεν Χαλκηδόνος,

[1] C'est ce même Isaac qui, par sa conduite insensée, s'exposa à la colère de Richard Cœur-de-Lion, et perdit l'île de Chypre, conquise par ce prince et donnée d'abord aux Templiers, puis à Guy de Lusignan.

Καταλιπὼν τὸν ἕτερον τύραννον ἐν τῇ πόλει,
Ὃς εἰς τὸν οἶκον εἰσελθὼν ταχέως Ἰσακίου,
Πλησίον ὄντα τὸν αὐτὸν μονῆς τῆς Περιβλέπτου,
Ἐκάλει τὸν Ἰσάκιον ἔξω παραγενέσθαι.

Ἐφόνευσεν Ἰσάκιος δεινὸν Χριστοφορίτην.

Ὡς δὲ φωνὴν ἀκήκοεν οὗτος Χριστοφορίτου
Ἐπέγνω φόνον τὸν αὐτοῦ, καὶ φόβῳ συνεσχέθη.
Ἀτρόμως δὲ προσκαθεσθεὶς, φέρων γυμνὴν τὴν σπάθην,
Χριστοφορίτου κεφαλὴν ἐθέρισεν αὐτίκα.
Οἱ δὲ παρόντες ἔφυγον, τὸν φόνον κατιδόντες.
Ἔτρεχεν οὖν Ἰσάκιος πρὸς τὸν ναὸν τὸν μέγαν
Κραυγάζων ἐν ταῖς ἀγυιαῖς· « Ἐγὼ Χριστοφορίτην
« Τὸν τύραννον ἀπέτεμον, » δεικνύων καὶ τὴν σπάθην.
Ἔνθεν ἐλθὼν πρὸς τὸν ναὸν τῆς τοῦ θεοῦ Σοφίας·
Ἐζήτει τὴν συγχώρησιν φόνου τοῦ τολμηθέντος.

Ἰσάκιος ὁ φονευτὴς σκῆπτρα κρατεῖ Ῥωμαίων.

Πάντα τὰ πλήθη δὲ λαοῦ πρὸς τὸν ναὸν ἐλθόντα
Τὸν φονευτὴν Ἰσάκιον στέφουσι βασιλέα[4].
Ὃ καὶ μαθὼν Ἀνδρόνικος εἰσῆλθεν ἐν τῇ πόλει,
Τάχει παραγενόμενος ἔνδον τοῖς ἀνακτόροις,
Μάχην αὐτὸς καὶ πόλεμον βουλόμενος ἐνστῆσαι.
Ἰδὼν δὲ τὴν παράταξιν πάντων σχεδὸν Ῥωμαίων
Ἐληλυθότων κατ αὐτοῦ σὺν βέλεσι καὶ λίθοις,
Αὐτὸς τὸ μέλλον φοβηθεὶς, ἐμβὰς ἐν ἀκατίῳ
Ἔφυγεν ὁ τριπέμπελος σὺν γυναιξὶ ταῖς δύο.

[4] Isaac, ou Kyr Isaac, succéda à Andronic, le 12 septembre 1185.

95 Τὸν δυστυχῆ δ' ἡ θάλασσα κακῶς μαχεσαμένη,
Προνοίας ταύτης ἄνωθεν τοῦτο προσενεγκούσης,
Μόλις χειλῇ προσέφθασε τῇ πρὸς τὸν φάρον οὔσῃ·
Κἀκεῖ φθασάσης τῆς νεὼς τῆς τοῦτον διωξάσης,
Δέσμιος ἐπανέστρεψεν ἀτίμως ἐν τῇ πόλει·
100 Ὃς παραστὰς κατ' ἔμπροσθεν ἄνακτος Ἰσακίου,
Γυμνὸς ἀπερικάλυπτος σάκκον ἐνδεδυμένος,
Ἐκκόπτεται τὸν ὀφθαλμὸν καὶ δεξιὰν τὴν χεῖρα,
Παντὸς ἐκεῖσε τοῦ λαοῦ τῆς πόλεως παρόντος.

Κακοφονῶν Ἀνδρόνικος κακὸν εὑρίσκει μόρον.

Ὕστερον δὲ καὶ κάμηλον ψωρόεσαν εὑρόντες,
105 Καὶ τοῦτον προκαθίσαντες γυμνὸν ἐπάνω ταύτης,
Ταῖς ῥύμαις ἐθριάμβευον, δεικνύντες ὡς κακοῦργον,
Βάλλοντες κατὰ πρόσωπον λίθοις, κόπροις ἀνθρώπων.
Οὐκ ἔστι λόγος ὕβρεως ὃς οὐκ ἐῤῥέθη τότε
Κατὰ τοῦ δυστυχήσαντος ἄνακτος Ἀνδρονίκου.
110 Ἔῤῥιπτον τὰ μιάσματα πρὸς τὴν ὑπήνην τούτου,
Ἐβρέχετο τὸ πρόσωπον ὕδασι ζεομένοις.
Πρὸς δὲ τοὺς βάλλοντας αὐτὸν ἀνιλεῶς τοῖς λίθοις,
Συντετριμμένον κάλαμον ἐβόα· « Τί συνθλᾶτε; »
Εἶτα πρὸς τὸν ἱππόδρομον κρεμάσαντες ὡς βόα,
115 Ἔχοντα κάτω κεφαλήν, αὐτοὺς δὲ πόδας ἄνω,
Τοῖς ξίφεσι κατέτεμνον ἅπαν αὐτοῦ σαρκίον.
Φρικτῶν τῶν μυστηρίων δὲ ἐζήτει κοινωνῆσαι,
Οὐχ εὗρεν εἰσακούοντα ἢ βοηθοῦντα τότε.
Ὡμῶς οὖν τις ἐκ τῶν ἐκεῖ πρὸς ἀφεδρῶνα τούτου
120 Τὴν σπάθην πήξας ἀσεβῶς καὶ μέχρι τῆς καρδίας
Πολλάκις σείσας τὴν αὐτήν, φέρει τὸν μόρον τούτου·

Εἶτα καταβιβάσαντες αὐτὸν ἀπὸ τῆς φούρκης,
Καὶ σύραντες ἐκ τῶν ποδῶν, ὡς κύνα τεθνηκότα
Ἔρριψαν τοῦτον ἐν στοᾷ μιᾷ τῶν ἱπποδρόμου,
Εἰς ἣν ἐνῆν μιάσματα καὶ τεθνηκότες κύνες.

Βλέψον καὶ μόρον κάκιστον τάλανος Ἀνδρονίκου.

Τὸν δυστυχῆ δ' ἐσύστερον τινὲς οἶκτον διδόντες,
Τὸ τούτου σῶμα πρὸς ταφὴν ἐφόρου μονιδρίῳ
Κατέθηκαν, ὡς συμπαθεῖς τῶν ἄλλων γεγονότες.

Ὦ δυστυχὴς Ἀνδρόνικε, σὸν θάνατον προλέγεις.

Ὁ δηλωθεὶς δ' Ἀνδρόνικος τοῖς παλαιτέροις χρόνοις,
Ἔτι τὰ σκῆπτρα Κομνηνοῦ τοῦ Μανουὴλ κρατοῦντος,
Μιᾷ πρὸς τὸν ἱππόδρομον τούτοις ἐπερχομένοις,
Ἔδειξεν οὗτος βασιλεῖ τοὺς κίονας τοὺς δύο
Τοὺς ὄντας εἰς ἱππόδρομον ἐν οἷς κατεκρεμάσθη,
Εἰπὼν αὐτὸν, ὡς βασιλεὺς μέσον αὐτῶν κιόνων
Ἐκκρεμασθεὶς ἀνιλεῶς μέλλει κακῶς τεθνάναι.
Πρὸς ὃν φησὶν ὁ Μανουὴλ, ὅστις αὐτὸς ὑπάρχει,
Μὴ θέλων μὴ βουλόμενος τοιοῦτον μόρον φέρει.

Κατῆρξεν Ἰσαάκιος καλῶς τῆς Βυζαντίδος.

Ἦρξεν οὖν Ἰσαάκιος οὗτος ἐν τοῖς Ῥωμαίοις
Εὐθύνας τὸ βασίλειον καλῶς ἐν χρόνοις δέκα[1],
Χρηστὸς ἀνὴρ ἀναφανεὶς καὶ ποθητὸς τοῖς πᾶσι.
Τί γέγονε μετέπειτα παρ' ἀδελφοῦ γνησίου;
Κόρας ὀμμάτων ὁ ῥηθεὶς Ἰσάκιος ἐσθέσθη.

[1] Isaac régna de 1185 à 1195.

Ἦν γὰρ αὐτὸς Ἀλέξιος ὁ μετ' αὐτὸν κρατήσας.
Ἔλαβε δὲ τὴν τύφλωσιν πρὸς δύσεως τὰ μέρη,
Ἐν τῷ ναῷ τῷ φεραυγεῖ τῷ πρὸς τὴν Βέραν ὄντι,
Ὃν προσανήγειρε νεὼν γενέτης Ἀνδρονίκου
Τοῦ πρώην βασιλεύσαντος, καὶ παρ' Ἰσαακίου
Κάκιστον μόρον εὑρηκώς, ὡς ἄνωθεν ἐρρέθη.
Ὁ δηλωθεὶς δ' Ἀλέξιος[1] ἐκράτησε Ῥωμαίων,
Χαῦνος ἀνὴρ καὶ μαλθακὸς, ὃς καὶ βαμβακοράβδης
Ἔχει τὴν κλῆσιν δυστυχῶς παρὰ παντὸς τοῦ πλήθους.

Ἔφυγεν ὁ Ἀλέξιος εἰς Ῥώμην καὶ πρὸς πάπαν.

Ὁ τυφλωθεὶς δ' Ἰσάκιος γνήσιον ἔχει παῖδα
Καλούμενον Ἀλέξιον[2], ὃς δυνηθεὶς τοῦ θείου
Χεῖρας καὶ βρόχους ἐκφυγεῖν ἔδραμε πρὸς τὴν Ῥώμην
Ἐκτραγῳδῶν τὴν πήρωσιν τούτου πατρὸς τῷ πάπᾳ,
Ἣν παρανόμως ἔσχηκε παρ' ἀδελφοῦ γνησίου,
Ὅθεν εὑρεῖν βοήθειαν ἐζήτει πρὸς τοῦ πάπα,
Αὐτὴν τὴν τύφλωσιν πατρὸς ἐνδίκως ἐκδικῆσαι,
Ἔχων εἰς τοῦτο συνεργὸν ἕνα τινὰ λατῖνον,
Ὃν εἶχεν οὗτος καὶ γαμβρὸν ἐπ' ἀδελφῇ γνησίᾳ[3]·
Συνέβη δὲ καὶ τυχηρῶς τοὺς πρὸ μικροῦ ῥηθέντας
Γενναίους ἄνδρας Ἰταλοὺς σὺν στόλῳ μεγιστάτῳ
Πρὸς Ῥώμην εἰσελθεῖν αὐτοὺς, καὶ βουλομένους μᾶλλον
Τὴν πόλιν Ἀλεξάνδρειαν, αὐτὴν τὴν Παλαιστάνην,
Καταλαβεῖν καὶ τοὺς ἐχθροὺς τοὺς τοῦ σταυροῦ φονεῦσαι,

[1] Alexis III l'Ange, qui détrôna et fit accuser son frère Isaac, prit la couronne impériale le 8 avril 1195.

[2] Le jeune Alexis qui se réfugia en Italie et qui obtint l'assistance des croisés.

[3] Il veut parler de l'empereur Philippe de Souabe.

Καὶ τάφον τὸν δεσποτικὸν αὐτοὺς ἐλευθερῶσαι·
Ἐζήτουν δὲ μετὰ βουλῆς τοῦτο γενέσθαι πάπα·
Αὐτοῦ δὲ πάπα τὰς εὐχὰς συμμάχους προσλαβέσθαι.
Ὁ δ' οὐ κατένευσεν αὐτοὺς τὰ βουλητέα πράξαι,
170 Αὐτὴν ἰσχὺν Ἀγαρηνῶν μέγα προσδειλιάσας,
Ἀλλ' ἔφησεν αὐτοῖς ἐλθεῖν σὺν πάσῃ τῇ δυνάμει
Μετ' Ἀλεξίου τοῦ παιδὸς πρὸς Κωνσταντίνου πόλιν,
Καὶ τὴν βασίλειον ἀρχὴν αὐτῷ προσαποδοῦναι,
Αὐτὴν τὴν ἀδικίαν δὲ πατρὸς διεκδικῆσαι,
175 Αὐτὸ προκρίνας δίκαιον παρ' Ἰταλοῖς γενέσθαι,
Εἰπὼν καὶ τούτου ὕστερον, ὡς καὶ τροφὰς καὶ κόπους
Μέλλουσιν οὗτοι προσλαβεῖν παρ' Ἀλεξίου πάσας.

Εἰσῆλθον πρὸς τὴν Βύζαντος οὗτοι σὺν Ἀλεξίῳ.

Τὸ τάχος οὖν Ἀλέξιον λαβόντες οἱ Λατῖνοι
Μετά γε τῆς δυνάμεως πάσης αὐτῶν καὶ στόλου
180 Ἀνῆλθον πρὸς τὴν Βύζαντος, καθὼς ὁ πάπας ἔφη.
Ἱππαγωγοὺς οὖν δρόμωνας εἶχον ἑκατὸν δέκα,
Νῆας μακρὰς ἑξήκοντα μεγιστοτάτας οὔσας,
Ἑτέρας δὲ μαχίμους ναῦς ὑψηλοτάτας πάνυ,
Πλείους τῶν ἑβδομήκοντα τὸν ἀριθμὸν καὶ ταύτας·
185 Εἶχον δ' ἱππότας χωριστοὺς ἐνόπλους καταφράκτους,
Ἄνδρας χιλίους μετρητοὺς ὄντας καβαλλαρίους,
Καὶ χιλιάδας πεζικὰς τριάκοντα καὶ πλείους.
Ὅτε γοῦν ἦλθον Ἰταλοὶ πρὸς πόλιν Κωνσταντίνου
Ἔτρεχε μὴν ἰούλιος, ἔτος δ' ὑπῆρχε μέγα
190 Ἑξακισχίλιον αὐτὸ σὺν τοῖς ἑπτακοσίοις
Πρὸς τούτοις ἄλλοις ἕνδεκα χρόνοις μεμετρημένοις[1].

[1] L'an 6711 du monde ou 1203 de J.-C.

Ἀπὸ θαλάσσης Ἰταλοὶ μάχονται Βυζαντίοις.

Οἱ δὲ Λατῖνοι πόλεμον στήσαντες ἐν τῇ πόλει
Μεγάλως ἐξεθάμβησαν ταύτην ἀπὸ θαλάσσης.
Ἄγγελος ἦν Ἀλέξιος ὁ τότε βασιλεύων·
Ὃς πρῶτον ἀπετύφλωσε ὁμαίμονα τὸν τούτου
Τὸν Ἄγγελον Ἰσάκιον, ὡς ἄνωθεν ἐρρέθη·
Ἦρξε δ' ἐν πόλει δυστυχῶς ὀκτὼ καὶ μόνους χρόνους
Φέρων τρεῖς μῆνας σὺν αὐτοῖς καὶ δέκα τὰς ἡμέρας.
Ὅστις ἰδὼν τὴν δύναμιν μεγάλην τῶν Λατίνων,
Καὶ τῶν Ῥωμαίων φοβηθεὶς μᾶλλον τὴν προδοσίαν,
Νυκτὸς λαθὼν ἀπέδρασε, πρὸς Μοσυνῶν δὲ πόλιν
Σὺν χρήμασι βασιλικοῖς καὶ θυγατράσιν ἦλθεν.

Ἔλαβε παῖς Ἀλέξιος ὁ δυστυχὴς τὸ κράτος.

Ὅπερ μαθόντες οἱ δεινοὶ Λατῖνοι, καὶ τὴν μάχην
Ἐάσαντες ταχύτατα, πρὸς τὴν εἰρήνην ἦλθον.
Καὶ παῖδα τὸν Ἀλέξιον, δι' ὃν ἡ μάχη αὕτη,
Ἄνακτα ταύτης πόλεως ἐζήτησαν γενέσθαι.
Εἰσῆλθε δ' οὗτος ἐν αὐτῇ βουλῇ τῇ τῶν Ῥωμαίων,
Ἰσαακίου τοῦ πατρὸς πηροῦ συνευδοκοῦντος[1].
Ζητοῦντες οὖν τὰ χρήματα Λατῖνοι τῶν ἐξόδων,
Ἃ συνεφώνησεν αὐτοῖς Ἀλέξιος διδόναι,
Εἰ μόνον τὸ βασίλειον ὁ δυστυχὴς κρατήσῃ,
Οὐχ εὗρον ταῦτα τοῦ λαβεῖν, πολλὰ γὰρ ἦσαν πάνυ.
Ἔνθεν καὶ γέγονε βουλὴ κακίστη πρὸς Ῥωμαίων

[1] Isaac fut tiré de prison le 18 juillet 1203, et remis sur le trône avec Alexis son fils, le 1er août.

Πάντα τὰ σκεύη καθελεῖν αὐτῶν ναῶν τῶν θείων,
215 Καὶ κέρμα κατασκευασθὲν καὶ δοῦναι τοῖς Λατίνοις.
Πόρος γὰρ ἦν οὐδέτερος ἡ καθελεῖν τὰ θεῖα.
Ὁ πρῶτος συνεβούλευσε μίασμα τοῦ γενέσθαι
Ἰσάκιος ὁ τυφλωθεὶς γενέτης Ἀλεξίου.
Ἀπῆλθον οὖν τοῖς ἄνωθεν μέρεσιν οἱ Λατῖνοι,
220 Φέροντες ἅπασαν αὐτῶν κατασκευὴν καὶ στόλον,
Λαβεῖν πάντα τὰ βρώσιμα πρὸς τῶν ἐκεῖσε τόπων,
Ἐσύστερον βουλόμενοι πρὸς πόλιν ἀντιστρέψαι,
Καὶ τὰ ῥηθέντα χρήματα λαβεῖν αὐτοὺς ἀκόπως.

Ἐφόνευσεν ὁ Μούρτζουφλος Ἀλέξιον ἀνόμως.

Τί μετὰ ταῦτα τὸ συμβὰν ἦν ἐν τῇ πόλει ταύτῃ;
225 Τῶν μεγιστάνων τίς ἀνὴρ, Ἀλέξιος τῇ κλήσει,
Καλούμενος ὁ Μούρτζουφλος, ὃς μέγας δοὺξ ὑπῆρχε,
Οὗτος τὸν παῖδ' Ἀλέξιον ἐφόνευσεν ἀνόμως[1]·
Αὐτὸς ἐπιλαβόμενος τὸ κράτος τῶν Ῥωμαίων,
Γέρων τριπέμπελος δασὺς πώγωνα καὶ τὴν κάραν,
230 Εὑρὼν τὴν θυγατέρα δὲ τοῦ πρώτου βασιλέως[2]
Εἰς γαμετὴν ἠγάγετο μῆνας κατάρξας δύο.
Ταῦτα μαθόντες οἱ δεινοὶ Λατῖνοι, καὶ τὸν φόνον
Τὸν τοῦ παιδὸς γνωρίσαντες, τὸ τάχος πρὸς τὴν πόλιν
Κατῆλθον πνεόντες θυμοῦ· καὶ μάχην συνιστῶσι
235 Καὶ πόλεμον ἀγείρουσι δεινὸν κατὰ Ῥωμαίων.
Τῆς μάχης γενομένης δὲ τούτων στερεωτέρας

[1] Alexis IV, surnommé Mourtzouphle, fit étrangler le jeune Alexis le 8 février 1204. Isaac venait de mourir.

[2] Eudoxie, fille d'Alexis III, épousa successivement Étienne, kral de Servie, Alexis Mourtzouphle et Léon Sgure.

Ἑάλω πόλις παρ' αὐτῶν, ὦ τῶν Θεοῦ κριμάτων!
Ὅπως δ' ἐδόθη τοῖς ἐχθροῖς, τοῖς ὧδε καταγράψω.

Ἀπὸ θαλάσσης Ἰταλοὶ μάχονται Βυζαντίοις.

Πάσης αὐτῶν δυνάμεως Λατίνων μαχομένης
240 Ἐκ τῆς θαλάσσης τοῦ βορᾶ καὶ ταῖς ναυσὶ ταῖς τούτων,
Κλίμακας ἀναρτήσαντες ὑψηλοτάτας πάνυ
Προσήγισαν τοῖς τείχεσι τῆς πόλεως καὶ πύργοις,
Πηδήσαντες δ' ἀπὸ μιᾶς κλίμακος ἄνδρες δύο[1]
Λατῖνοι σθεναρέστεροι κατῆλθον πρὸς τὸν πύργον,
245 Πρᾶγμα διαπραξάμενοι μέγιστον καὶ γενναῖον.
Ξίφη γυμνὰ κατέχοντες καὶ φόβον ἐμποιοῦντες
Ἐν ᾧ καὶ τόπῳ βασιλεὺς τὴν μάχην συνεκρότει
Μετὰ παντὸς στρατεύματος δυνάμεως τῆς πάσης.

Ἴδε καὶ μάθοις ἀκριβῶς τὴν μάχην τῶν Λατίνων!

Οἱ δύο γοῦν, ὡς εἴρηται, Λατῖνοι κατελθόντες
250 Πρὸς πῦργον τὸν πρὸς θάλασσαν, ᾧ κλῆσις ἦν Πετρίον,
Πολλοὺς προσαποκτείνουσι τῶν δυστυχῶν Ῥωμαίων,
Μὴ δυνηθέντης οἱ πολλοὶ τοὺς δύο καταστρέψαι.
Εἶτα κατῆλθον ἕτεροι Λατῖνοι πρὸς τὸν πῦργον,
Πάντας κατακρημνίσαντες ἔξωθεν τοὺς Ῥωμαίους·
255 Καὶ τὴν σημαίαν τὴν αὐτῶν στήσαντες ἐν τῷ πύργῳ,
Ἐν οἷς καὶ Πέτρος[2] τοὔνομα, γενναῖος ἱππηλάτης
Πρῶτος ὁρμήσας ἔφιππος εἰσῆλθεν ἐν τῇ πόλει,
Ἀπὸ τῆς πύλεως αὐτῆς τῆς οὔσης ἐν Πετρίῳ,

[1] L'un était André d'Urboise.
[2] Pierre de Bracheux.

Ὃς καὶ φοβίσας ἅπαντας ὄντας ἐκεῖ Ῥωμαίους
260 Φεύγειν αὐτοὺς ἐποίησεν· ἥλιε, βλέπεις ταῦτα!
Ἔνθεν λοιπὸν ὁ βασιλεὺς σὺν μετρητοῖς ἱππέοις
Καταλειφθεὶς μονώτατος φεύγει κατησχυμένος,
Κραυγάζων ἐν ταῖς ἀγυιαῖς· « Στῆτε, Ῥωμαῖοι, στῆτε·
« Πρὸς πόλεμον ὠτρύνθητε κατὰ Λατίνων πάντες,
265 « Στραφέντες μαχησώμεθα· μὴ λάφυρα φανῶμεν
« Αὐτοῖς Λατίνοις τοῖς ἐχθροῖς, σὺν γυναιξὶ καὶ τέκνοις. »
Οὐκ ἦν δ' ὁ τούτῳ συμμαχῶν οὐ πάρεστιν ἀκούων,
Ἀλλ' εἰς φυγὴν ἐτράπησαν ἅπαντες οἱ Ῥωμαῖοι.

Ἡ πόλις ἡ τοῦ Βύζαντος ἑάλω πρὸς Λατίνων.

Ἑάλω πόλις οὖν κακῶς τότε παρὰ Λατίνων,
270 Ἡ βασιλὶς τῶν πόλεων, ἡ τρισευτυχεστάτη,
Ἔτυχε μὴν ἀπρίλιος φέρων τὴν δωδεκάτην,
Δευτέρα δὲ τῶν νηστειῶν, ἕκτης τῆς ἑβδομάδος,
Ἔτος ἑξακισχίλιον τρέχον τὸ μέγα κόσμου,
Καὶ σὺν αὐτῷ δωδέκατον σὺν τοῖς ἑπτακοσίοις[1],
275 Ἰνδικτιῶνος δυστυχοῦς τρεχούσης τῆς ἑβδόμης.
Τὸ Πάσχα δὲ χριστιανοῖς ἔτυχε τοῖς ἀθλίοις
Πρὸς μῆνα τὸν ἀπρίλιον ἐν εἰκοστῇ τῇ πέμπτῃ.
Ὁποῖα γοῦν εἰργάσαντο τότε κακὰ τῇ πόλει
Οἱ θηριώδεις δυτικοὶ Λατῖνοι παρανόμως.
280 Ἴδε τὴν βίβλον ἀκριβῶς Νικήτα Χωνιάτου[2]
Καὶ βλέψεις θρήνων ἅπαντα καὶ θρήνου τί καὶ πλείω.

[1] Constantinople fut prise le lundi 12 avril 6712 du monde et 1204 de J.-C.

[2] Nicétas Choniates a écrit en effet l'histoire de la prise de Constantinople et ses lamentations sur les ravages commis dans la ville par les Francs.

Ἔτυχε πρὸς τὴν ἅλωσιν οὗτος ὁ Χωνιάτης,
Ἰδὼν οἰκείοις ὀφθαλμοῖς κακὰ τὰ γεγονότα,
Καὶ πάντα συνεγράψατο καλῶς ὡς φιλαλήθης.
Μετὰ τῶν ἄλλων τῶν πολλῶν κακῶν τῶν γενομένων
Παρ' Ἰταλῶν τῶν δυσσεβῶν ἑνὸς ἐπιμνησθῆναι
Βούλομαι καὶ τοῖς θέλουσι τοῦτο προσεπιγράψαι·
Ἁρπάξαντες τῶν ἱερῶν ναῶν σκεύη τὰ θεῖα,
Καὶ τὰς εἰκόνας τὰς σεπτὰς ἀτίμως ἐκγυμνοῦντες
Ἀνόμως ἔρριπτον εἰς γῆν αὐτὰς οἱ χριστομάχοι.

Βλέψον ἀνόμων Ἰταλῶν τὰς παρανόμους πράξεις.

Ἔνθεν ἐλθόντες φονικῶς εἰς τὸν ναὸν τὸν θεῖον,
Τὸν οὐρανὸν τὸν δεύτερον τῆς τοῦ θεοῦ Σοφίας,
Καὶ πύλας καταστρέψαντες, πάντα τὸν τούτου κόσμον
Καὶ πάντα πέπλον ἱερὸν ἀτίμως κατεπάτουν.
Ἐλθόντες μέχρι δὲ αὐτῆς τῆς ἱερᾶς τραπέζης
Συνέτριψαν τὴν πάντιμον ταύτην μετὰ τῶν λίθων.
Ὅλον οὖν τὸν τοῦ βήματος κόσμον καταβαλόντες
Τοῦτον ἐξεφορίαζον σὺν τοῖς ἡμιονίοις,
Ἐν οἷς συνέβη καὶ πεσεῖν ἕνα τῶν ἡμιόνων
Ἔνδον τοῦ θείου βήματος καὶ μόρον ὑποστῆναι·
Οὗτος γὰρ ὁ τρισάθλιος παρατραπεὶς τὸν πόδα
Ἐκ τῆς πολλῆς στιλβότητος μαρμάρων τῶν καλλίστων
Ἔπεσε πτῶμα χαλαιπὸν χρυσὸν πεφορτισμένος.
Τί τὸ συμβὰν μετέπειτα; προσώζεσεν ἐκεῖσε
Καταλειφθεὶς παρ' Ἰταλῶν ἔνδον ἐν τοῖς ἀδύτοις.

Ἴδε βεβήλου γυναικὸς τόλμαν ἀναιδεστάτην.

Ἄλλο δὲ παρανόμημα γέγονεν ἴσον τούτου,

Πόρνη γυνὴ τῶν ἀνοιδῶν ἐλθοῦσα σὺν Λατίνοις[1]
Πρὸς τὸν ναὸν τὸν μέγιστον τῆς τοῦ θεοῦ Σοφίας,
Ἀνόμως δ' εἰσπηδήσασα πρὸς τοῖς ἀδύτοις ἔσω
Ἀτρόμως ἐπεκάθισεν ἐπάνω τοῦ συνθρόνου,
Ἄδουσα μέλος πορνικὸν ᾠδὰς αὐτὰς δαιμόνων,
Καὶ τοῖς ποσὶν ὀρχίσματα παίζουσα παμβεβήλως·

Ἴδε βεβήλου γυναικὸς πράξεις τὰς παρανόμους.

Εἰποῦσα καὶ τοῖς Ἰταλοῖς, ὡς πρὸ πολλῶν τῶν χρόνων,
« Ἔρως μοι τοῦτο γέγονεν, ὅπως ἐν τοῖς ἀδύτοις
« Φθέγξομαι μέλος πορνικόν, ὅθεν κατεῖδον τοῦτο. »
Φρίξον σὺν ἄστροις, ἥλιε, θρήνησον ἡ σελήνη,
Ὄροι, βουνοὶ κλονήθητε, συσταλῆτε θηρία,
Κλαύσατε πάντα σὺν ἐμοὶ τὰ τολμηθέντα τότε.
Καὶ ταῦτα μὲν προσήνεγκται τὸ τῶν Ἀγγέλων γένος
Τὸ νόθον καὶ κακοφυὲς τότε Ῥωμαίοις ἄρξαν.
Βασιλευσάντων γὰρ αὐτῶν τῶν ἐπὶ γῆς Ἀγγέλων,
Ἡ βασιλὶς τῶν πόλεων εἰς τέλος κατεδλήθη.
Ἔφευγον οὖν χριστιανοὶ θελόντων τῶν Λατίνων,
Τῆς πόλης ἐξερχόμενοι καὶ μόνης τῆς χαιροσείας,
Ἅπαντα καταλείψαντες τὰ πράγματα Λατίνοις.
Ἡ πόλις δὲ κατήρχετο παρ' Ἰταλῶν ἀδίκως
Πεντήκοντα σὺν τοῖς ὀκτὼ χρόνοις μεμετρημένοις[2],
Ἄνακτα καταστήσαντες Φλάντρας τὸν Βαλδουίνον,
Ἅπαντα τὰ τῆς δύσεως μέρη καταπορθοῦντες,
Καὶ φόνους ἐργαζόμενοι πλείστους τὸ καθημέραν.

[1] C'est le même fait que raconte Nicétas.
[2] De 1204 à 1261.

Βλέψον τὸν κακιστότατον θάνατον τοῦ Μουρτζούφλου.

Ἀλλὰ γὰρ ἄξιον εἰπεῖν τὸν μόρον τοῦ Μουρτζούφλου.
Οὗτος ὁ δύστηνος ἀνὴρ τὸν προῤῥηθέντα παῖδα
Τὸν Ἄγγελον Ἀλέξιον, δι' ὃν γέγονε ταῦτα,
Βρόχῳ στερήσας τὴν ζωὴν, καὶ τοῖς Ῥωμαίοις ἄρξας,
335 Τὴν μάχην δὲ τῶν Ἰταλῶν μὴ δυνηθεὶς βαστάσαι·
Λαβὼν τὴν σύνευνον αὐτοῦ καὶ τὴν μητέρα ταύτης
Ἔφυγεν ὁ τριπέμπελος πρὸς δύσεως τὰ μέρη·
Ὅθεν ἐλθὼν πρὸς Μοσυνῶν καὶ κηδεστὴν τὸν τούτου
Τὸν Ἄγγελον Ἀλέξιον τὸν πρότερον φυγόντα,
340 Εὑρὼν αὐτὸν ἐν Μοσυνοῖς κατῴκησε σὺν τούτῳ·
Ὃς προσελθὼν ἐν λοετρῷ λοῦσαι τὸ σῶμα θέλων,
Ἐσβέσθη κόρας ὀφθαλμῶν τῇ κηδεστοῦ θελήσει.
Ἐλθόντες οὖν οἱ βέβηλοι Λατῖνοι πρὸς τὴν δύσιν,
Καὶ πόλεις πάσας τὰς ἐκεῖ κακῶς καταπορθοῦντες,
345 Ἔλαβον δορυάλωτον καὶ Μοσυνῶν τὴν πόλιν,
Οἵτινες τὸν Ἀλέξιον τὸν Μούρτζουφλον ὁρῶντες
Πηρὸν ἐκεῖ διάγοντα, ταχέως συλλαβόντες,
Σὺν ἄλλοις πλείστοις ἔφερον πρὸς Βυζαντίδα πόλιν.
Ἀναβιβάσαντες δ' αὐτὸν πρὸς κίονα τοῦ Ταύρου[1]
350 Κάτω πεσεῖν κατέκριναν τοῦτον καὶ τεθνηκέναι,
Ὡς Ἀλεξίου φονευτὴν παιδὸς τοῦ προῤῥηθέντος.
Τοιοῦτον μόρον ἄξιον ὁ δυστυχὴς ἐφεῦρεν.

Καθήρπασαν Λασκάριοι κράτος πρὸς τὴν ἑώαν.

Αὐτὴν δὲ τὴν βασίλειον ἀρχὴν τὴν τῶν Ῥωμαίων

[1] C'est la même colonne dont il est question dans le *Livre de la Conqueste.*

Καθήρπασαν Λασκάριοι πρὸς μέρεσιν ἑώας·
Ὧν πρῶτος ἐβασίλευσε Θεόδωρος ἐκεῖνος[1]
Ἐκ γένους τῶν Λασκάρεων, χρηστὸς ἀνὴρ ἐν πᾶσιν.
Ὁ Δοῦκας εἶτα μετ' αὐτὸν Βατάτζης Ἰωάννης[2].
Μεθ' ὃν υἱὸς Θεόδωρος δεύτερος Λασκαρέων[3],
Ὃς τετραχρόνιον καιρὸν καλῶς Ῥωμαίοις ἄρξας
Τέθνηκε, παῖδα τὸν αὐτοῦ καταλιπὼν τὰ σκῆπτρα,
Μειράκιον ἑπταετῆ, τὴν κλῆσιν Ἰωάννην[4],
Ὃς καὶ τὰς κόρας ὕστερον ἐσθέσθη τῶν ὀμμάτων.

Ἀνάῤῥησις τοῦ Μιχαὴλ πρώτου Παλαιολόγων.

Κἀντεῦθεν ἔσχε τὴν ἀρχὴν ὁ Κομνηνὸς ἐκεῖνος
Παλαιολόγος Μιχαὴλ, πρῶτος Παλαιολόγων[5],
Μέγας ἐν γνώσει συνετὸς καὶ δυνατὸς ἐν πᾶσιν,
Ἀλλὰ τοῖς ὄπισθεν αὐτὸς ἐπιστρεφέτω λόγος.

Οἰκοδομὴν ἴδε ναοῦ τὴν πρὸς Χαρσίου πύλην.

Ἦρχον τῆς πόλεως αὐτῆς, ὡς ἔφην, οἱ Λατῖνοι,
Ἄνακτα προβιβάσαντες ἀδίκως Βαλδουΐνον.

[1] Théodore Lascaris, gendre d'Alexis et mari d'Anne, régna à Nicée de 1204 à 1222.

[2] Jean Ducas Vatatzès, gendre de Théodore Lascaris et mari d'Hélène, régna de 1222 à 1255.

[3] Théodore Lascaris, fils de Jean Vatatzès, lui succéda de 1255 à 1259.

[4] Jean Lascaris, fils de Théodore, était en effet âgé de six à sept ans au moment de la mort de son père.

[5] Michel Paléologue se fit couronner empereur à Nicée, en 1260.

Τούτου θανόντος ἕτερος ἀνέστη Βαλδουίνος[1].
370 Ἐν ταῖς ἡμέραις οὖν αὐτοῦ, καὶ τοῦ τροπαιοφόρου
Περιβοήτου μάρτυρος ἠγέρθη Γεωργίου
Δόμος ὁ καλλιστότατος πρὸς πύλην τὴν Χαρσίαν.
Ὡς ἀναγκαίαν γὰρ αὐτὴν εἰπεῖν τὴν ἱστορίαν
Βούλομαι, καὶ τοῖς θέλουσι τὸ θαῦμα τοῦ μεγίστου
375 Καὶ θείου χριστομάρτυρος δεῖξαι τὸ πῶς ἐπράχθη.
Ἔκπαλαι καθιστόρητο παρὰ τῶν ὀρθοδόξων
Ὁ κάλλιστος ἐν μάρτυσιν ἐν πύλῃ Χαρισίου,
Ἔφιππος ἔνδον τῆς στοᾶς ἐν ᾗ καὶ καθοᾶται,
Θαύματα μεγιστότατα ποιῶν τοῖς βουλομένοις.
380 Ὡς δὲ τὸ κράτος Μιχαὴλ ὁ Κομνηνὸς κατέσχε,
Μετὰ πολλοῦ στρατεύματος καὶ πάσης τῆς ἰσχύος
Ἅπαντα τὰ τῆς δύσεως μέρη κατετροποῦτο,
Ἔχων συμμάχους τοὺς καλοὺς ὁμαίμονας τοὺς δύο,
Μεθ' ὧν εἰς πόλιν ἔφθασε καλλίστην Συλληβρίαν.
385 Ὁ βασιλεύων δ' Ἰταλὸς ἐν πόλει Βαλδουίνος
Τὴν τῶν Ῥωμαίων ἔφοδον μέγα προσδειλιάσας
Ἔκλεισε πύλας πόλεως πάσας τὰς τῆς ἠπείρου,
Λίθοις μεγάλοις καὶ μοχλοῖς κατοχειρώσας ταύτας,
Πύλην ἐάσας ἀνοικτὴν τὴν ποταμοῦ πλησίον,
390 Εἰς ἣν τῆς μάρτυρος ναὸς Κυριακῆς ὁρᾶται.

Ὁ μέγιστος Γεώργιος ἐφάνη Βαλδοϋίνῳ.

Ὅθεν καὶ μίαν ἐξελθὼν σὺν μετρητοῖς ἱππέοις,
Καὶ τὴν ὁδὸν ἐρχόμενος τὴν φέρουσαν πρὸς πύλην,

[1] Baudoin II succéda à son frère Robert en 1228, sous la tutelle de Jean de Brienne.

Εἰς ἦν ὁ μάρτυρ ἵσταται κλειδοῦχος Χαρισίου,
Τὸν θαυμαστὸν ἐν μάρτυσιν ἔβλεψε στρατιώτην
395 Κατ' ἔμπροσθεν βαδίζοντα καὶ φθάνοντα τρὸς πύλην.
Ὃς Βαλδουΐνος ἔφησε τάχος τοῖς σὺν ἐκείνῳ
« Τίς ὁ φαινόμενος ἡμῶν ἔμπροσθεν στρατιώτης; »
Ἐκεῖνοι δ' ἀπεκρίθησαν μή τινα βλέπειν μᾶλλον.
Ὁ γοῦν φανεὶς μόνος αὐτῷ μέχρι τῆς πύλης φθάσας,
400 Ἄφαντος ὅλως γέγονεν, ὅθεν ὁ Βαλδουΐνος
Ὡς φάντασμα τὸ γεγονὸς οὐκ ἀληθὲς ἐφρόνει.
Καὶ πάλιν ἀπερχόμενος ἐκεῖ καὶ δὶς καὶ τρίτην,
Ἔβλεψε τὸν φαινόμενον σχήματι στρατιώτου,
Ἔμπροσθεν ἀπερχόμενον μέχρις αὐτῆς τῆς πύλης,
405 Κἀκεῖσε μὴ βλεπόμενον ἀλλ' ἄφαντ' ὄντα τοῦτον.
Λοιπὸν αὐτὸς ὁ βασιλεὺς ἔφησε τοῖς παροῦσιν·
« Οὐ λέγω τὸν βλεπόμενον ὡς φάντασμα προσεῖναι,
« Μᾶλλον δεικνύει πρόσωπον φαιδρὸν ὥσπερ ἡλίου,
« Καί μοι δοκεῖ θειότερον εἶναι τὸ πρᾶγμα τοῦτο. »
410 Εἷς δὲ τῶν ὄντων σὺν αὐτῷ πρὸς θείας ἐπιπνοίας
Γνωρίσας τὸν φαινόμενον τῷ βασιλεῖ προσεῖπεν,
Εἶναι αὐτὸν τὸν μάρτυρα τὸν ἔσωθεν οἰκοῦντα
Τῆς Χαρισίου πύλεως στοᾷ τῇ σμικροτάτῃ.
Πιστεύσας οὖν ὁ βασιλεὺς καλῶς τὰ λαληθέντα,
415 Ἀπῆλθε πρὸς τοῖς ὄπισθεν τὸ τάχος χαρᾷ πλείστῃ,
Καὶ πρὸς τὴν πόλιν εἰσελθὼν ἔδραμε πρὸς τὴν πύλην
Τοῦ Χαρισίου κατιδεῖν τὸν ἄνδρα τὸν φανέντα·
Ὅθεν καὶ τρόμῳ προσελθὼν εἶδε τὸν στρατιώτην
Ἔφιππον καθιστάμενον, ὃν ἔξωθεν ἑώρα.
420 Καὶ τούτου θείαν δύναμιν μεγάλως ἀνυμνήσας
Προσέταξε τῷ ψάλλοντι πρεσβύτῃ Δημητρίῳ
Τῷ θείῳ μάρτυρι ναῷ ταχέως ἀνεγεῖραι,

Ὅστις καὶ προσανήγειρε τοῦτον μετὰ μαρμάρων,
Πάνυ σμικρότατον αὐτὸν καλῶς κατασκευάσας·
425 Ἐντέχνως σοφισάμενος, ὡς εἰ συμβαίη ταύτην
Ἐπανοιχθῆναι πώποτε τὴν πύλην τοῦ Χαρσίου,
Τὴν εἰσοδοδιέξοδον ἔχειν ἀνεμποδίστως,
Ὡσαύτως καὶ τὸν μάρτυρα τὸν θεῖον οἶκον τοῦτον.

Ἕτερον θαῦμα μέγιστον μεγίστου Γεωργίου.

Ὡς δὲ κατέσχεν ὕστερον Ἀνδρόνικος τὸ κράτος,
430 Ὁ γόνος ὁ τοῦ Μιχαὴλ πρώτου Παλαιολόγου,
Ἔρρευσεν αἷμα κρουνηδὸν ἐκ θείου τοῦ προσώπου
Τούτου τοῦ Χριστομάρτυρος ἐπὶ πολλαῖς ἡμέραις,
Ὥστε καὐτὸν τὸν ἄνακτα μαθεῖν τὰ περὶ τούτου.
Ὃς προσελθὼν καὶ κατιδὼν ἐν ὀφθαλμοῖς τὸ πρᾶγμα,
435 Οἰκείαις τούτου ταῖς χερσὶ κατασφογγίζει τοῦτο·
Ὁρῶντος οὖν τὸν μάρτυρα πάλιν ἐκ τοῦ προσώπου
Αἷμα πολὺ κατέρρευσε καὶ μεῖζον τοῦ προτέρου.
Ὅθεν αὐτὸς ὁ βασιλεὺς μετὰ δακρύων ἔφη·
«Ὦ Χριστομάρτυρ ἔνδοξε, τοῦτο φθορὰν σημαίνει
440 «Χριστιανῶν καὶ τῆς ἐμῆς ἀρχῆς καὶ βασιλείας.»
Ὃ μετ' ὀλίγον γέγονε καὶ πέπτωκε τῆς δόξης,
Καὶ γέγονεν Ἀντώνιος οὗτος ἀντ' Ἀνδρονίκου.
Ὁρᾷς καὶ τὸν Λασκάριον τοῦτον ἐκδικηθέντα·
Ἀναλαβέτω τοιγαροῦν ὁ λόγος τοῖς προτέροις.
445 Ὁ Μιχαὴλ, ὡς εἴρηται, παραλαβὼν τὸ κράτος
Ἔλαβε τὰς τῆς δύσεως πόλεις πάσας καὶ χώρας.
Ἐκ Συλληβρίας οὖν αὐτὸς μετὰ τῶν στρατευμάτων
Ἀναχωρήσας ἔρχεται πέραθεν τῶν Γαλάτου,
Βουλόμενος τὸ φρούριον λαβεῖν τὸ τῶν Λατίνων·
450 Ἡ κλῆσις ἦν καστέλλιον πλησίον τῶν Βερίου.

Ἐνταῦθα μάθοις ἀκριβῶς τὰ τοῦ Βουλγαροκτόνου.

Ἀλλὰ γὰρ ἐξηγούμενος κατὰ λεπτὸν τὰ πάντα
Βούλομαι καὶ τοῖς θέλουσι τὰ τοῦ Βουλγαροκτόνου
Τοῦ Βασιλείου προσειπεῖν ὡς ἀναγκαίων ὄντων,
Καὶ πῶς εὑρέθη κείμενος ἐν πόλει Συλληβρίᾳ.
Οὗτος ὁ κάλλιστος ἀνὴρ, ἐν χρόνοις οἷς κατῆρχεν,
Ἔδοξε πᾶσι θαυμαστὸς καὶ σώφρων καὶ γενναῖος,
Τιμήσας τὴν βασίλειον ἀρχὴν καθὼς ἦν δέον·
Αὐτὸ δὲ γένος τῶν Μυσῶν Βουλγάρων κεκλημένων.
Κακῶς κατεπαιρόμενον τότε κατὰ Ῥωμαίων
Πάντας κατεσφαγίασε, κληθεὶς Βουλγαροκτόνος,
Ἄρξας ἐν χρόνοις εὐτυχῶς πεντήκοντα σὺν δύο·
Τοσοῦτον δ' ὑπερέβαλε τοὺς βασιλεῖς τοὺς πάλαι·
Ἔν τε τῇ ῥώμῃ σώματος σπουδῇ τε τῇ μεγίστῃ,
Ὡς καὶ νυξὶν ἐργάζεσθαι καὶ τρέχειν πρὸς πολέμους·
Κατάβροχον τὴν κεφαλὴν ἐκ πρωϊνῆς τῆς δρόσου
Φέρων αὐτὴν διὰ παντὸς σχεδὸν καὶ καθ' ἑκάστην·
Μὴ τοῖς βλεφάροις νυσταγμὸν μηδ' ὄμμασι τὸν ὕπνον
δοὺς αὐτὸς τὸ σύνολον, ἀλλ' ἔξω διατρίβων.

Τὰς πράξεις μάθοις ἀκριβῶς καλλίστου Βασιλείου.

Οὗτος φιλῶν τὸν μέγιστον μύστην τὸν Θεολόγον
Ἀνήγειρεν εἰς ὄνομα τούτου καὶ θεῖον δόμον,
Τῆς Βυζαντίδος ἔξωθεν ἐν παραθαλασσίοις
Τοῖς νοτικοῖς οὐκ εἰς μακρὰν ἐν τόπῳ καλουμένῳ
Ἑβδόμῳ πρὸς τοῖς Ἕλλησιν αὐτοῖς τοῖς Βυζαντίοις,
Κατακοσμήσας τὸν ναὸν σκεύεσι πολυτίμοις,
Αὐτοῦ καὶ τὸ σωμάτιον ἐκεῖσε καταθάψας.

Ὡς δὲ Λατίνοις τοῖς ἐχθροῖς ἡ πόλις παρεδόθη,
Καὶ πάντα τὰ τῆς δύσεως ἠφάνισται τελείως,
Ὁ προῤῥηθεὶς ἠρήμωτο σὺν ἄλλοις θεῖοις οἶκος,
Φυγόντων, ὡς δεδήλωται, τῶν δυστυχῶν Ῥωμαίων,
480 Ὅθεν καὶ μάνδρα γέγονε λατινικῶν προβάτων
Οὗτος ὁ καλλιστότατος ναὸς τοῦ Θεολόγου.
Ἐλθόντες τοίνυν ἀγροικοὶ ποιμένες τῶν Λατίνων
Ἔνδον ναοῦ σὺν τοῖς αὐτῶν ποιμνίοις, ὥσπερ ἔθος,
Καὶ τάφον προσεμβλέψαντες ἐκεῖσε Βασιλείου,
485 Καί τι νομίσαντες εὑρεῖν ἔνδον αὐτοῦ τοῦ τάφου,
Τάχος αὐτὸν ἀνοίξαντες, οὐχ εὗρον εἰ μὴ μόνον
Ἐκεῖσε κατακείμενον τὸ σῶμα Βασιλείου.
Ὃ προσανήγειραν εὐθὺς φέροντες ἔξω τάφου,
Καὶ συναρμολογήσαντες μέλη τὰ νεκρωθέντα,
490 Καὶ κάλαμον τῷ στόματι ποιμενικὸν βαλόντες,
Ἔστησαν κατεμπαίζοντες κατ' ἔμπροσθεν τοῦ τάφου.
Ἐξῆλθον οὖν οἱ βάρβαροι τὸ λείψανον ἀφέντες
Ἐκεῖσε παριστάμενον πρὸς ἐμπαιγμὸν, ὡς ἔφην.
Ὡς δ' ὁ ῥηθεὶς ἐλήλυθεν ἄναξ Παλαιολόγος
495 Μετά γε τῆς δυνάμεως καὶ πάντων στρατευμάτων
Τὸ φρούριον μαχήσασθαι τὸ πέραθεν Γαλάτου,
Ὃ καὶ καστέλλιον αὐτὸ πάλαι προσηγορεύθη,
Αἱ πύλαι πᾶσαι πόλεως αἱ πρὸς τὴν δύσιν οὖσαι
Ἐκλείσθησαν παρ', Ἰταλῶν φόβῳ τῷ τῶν Ῥωμαίων·
500 Καί τινες τῶν στρατιωτῶν, ὥσπερ ἦν ἔθος τούτοις,
Ἐν προαστείοις ἔτρεχον τί πρὸς τροφὴν εὑρέσθαι·
Μετὰ τῶν ἄλλων οὖν αὐτοὶ καὶ πρὸς αὐτὸν ἐλθόντες
Τὸν προῤῥηθέντα μέγιστον οἶκον τὸν Θεολόγου,
Καὶ Βασιλείου τὸν νεκρὸν ἱστάμενον ἰδόντες
505 Τὸν κάλαμον κατέχοντα στόμα χερσὶ ταῖς τούτου,

Ἱρεύνων θέλοντες μαθεῖν τίς ὁ νεκρὸς ὑπάρχει.
Καὶ γνόντες ἀπὸ πίνακος ἱστορικῆς ἐκεῖσε,
Ὡς ἔνεστι Βασίλειος οὗτος Βουλγαροκτόνος,
Ἀπῆλθον ἐν τοῖς μέρεσι ταχέως τῶν Γαλάτου
510 Καὶ βασιλεῖ τῷ Μιχαὴλ ἅπαντα τραγῳδοῦσιν·
Ὅστις δακρύσας, ὡς εἰκός, προσέταξεν αὐτίκα
Τοῦ Βασιλείου τὸν νεκρὸν ἔνδον ἐν κιβωτίῳ
Βληθῆναι, καὶ μετὰ τιμῆς ψαλμῳδιῶν καὶ φώτων
Ἐσκομισθῆναι πρὸς αὐτὸν ἐν τόπῳ τῶν Γαλάτου,
515 Ὃ καὶ κατὰ τὴν πρόῤῥησιν τοῦ Μιχαὴλ ἐπράχθη,
Προσῆν δ' ἐν κοίτῃ κείμενον πλησίον βασιλέως.

Ἔφερον τὸν Βασίλειον, πέραθεν τῶν Γαλάτου.

Ὡς δ' ἀνθυπέστρεψεν αὐτὸς πάλιν πρὸς Συλληβρίαν,
Μὴ δυνηθεὶς τὸ φρούριον λαβέσθαι τῶν Λατίνων,
Ἔφερε τὸν Βασίλειον ἐν τῇ ῥηθείσῃ πόλει,
520 Καὶ θάπτει πλείστῃ τῇ τιμῇ μονῇ τῇ τοῦ Σωτῆρος,
Ἐν ᾗ μονῇ καὶ Μιχαὴλ ἐσύστερον ἐτάφη.

Τοῦ Μιχαὴλ ἀνάῤῥησις πρώτου Παλαιολόγου.

Ἀλλ' ἐπὶ τὸ προκείμενον ὁ λόγος βαδιζέτω,
Ὁ Μιχαὴλ, ὡς εἴρηται, σὺν πλείστῃ τῇ δυνάμει
Μαχόμενος τὸ φρούριον οὐκ ἴσχυσε λαβέσθαι.
525 Καί τοι πρὸς μάχην τὴν αὐτοῦ καὶ πετροβόλα μᾶλλον
Κατασκευάσας ὄργανα καὶ τοὺς κριοὺς τῇ κλήσει
Πρὸς τὴν τῶν τείχων ἔκκρουσιν, ἀλλ' ἄπρακτος ἐδείχθη.
Εἶχε καὶ γὰρ τὸ φρούριον δύναμιν πρὸς Λατίνων,
Ὅθεν καὶ καθυπέστρεψε πάλιν πρὸς Συλληβρίαν,
530 Οἰκονομήσας δὲ καλῶς τῆς δύσεως τὰ μέρη
Πρὸς τὴν ἑῶαν ἐκπερᾷ μετὰ τῶν στρατευμάτων.

Καῖσαρ ὁ Στρατηγόπουλος ἔρχεται πρὸς τὴν πόλιν.

Εἶτα πρὸς Καίσαρος ἀρχὴν Ἀλέξιον προκρίνας
Ἄνδρα τὸν Στρατηγόπουλον, ἄριστον ὄντα πάνυ,
Πρὸς μέρη τὰ τῆς δύσεως ἔστειλε παραυτίκα
535 Σύν τε στρατεύμασι πολλοῖς, ταῦτα καλῶς συστεῖλαι,
Εἰπὼν αὐτῷ καὶ καθ' ὁδοῦ τὸ ξίφος ἐπισεῖσαι
Αὐτοῖς τοῖς οὖσιν ἔσωθεν Λατίνοις ἐν τῇ πόλει.
Αὐτὸς δὲ Καῖσαρ ἀπελθὼν μετὰ τῶν στρατευμάτων,
Καὶ δυτικοῖς ἐν μέρεσι τῇ πόλει πλησιάσας,
540 Χόρτον δὲ πλεῖστον ἐφευρὼν καὶ ποταμὸν σὺν τούτῳ
Ἐκέλευσε τὸ στράτευμα καλῶς ἀναπαυθῆναι.
Προσῆλθον οὖν τῷ Καίσαρι κειμένῳ τοῖς ἐκεῖσε
Ἄνδρες ἀπὸ τῆς πόλεως τὴν τύχην ἰδιῶται,
Φάσκοντες τοῦτον εἰσελθεῖν ἀφόβως ἐν τῇ πόλει.
545 Ὁ δὲ καὶ πῶς αὐτοῖς φησιν· οἵτινες πάλιν εἶπον.
«Ὁ στόλος ἅπας, Ἰταλῶν τῶν ὄντων ἐν τῇ πόλει,
«Ἀπῆλθεν ἐν τοῖς μέρεσιν ἄνωθεν Δαφνοισίας,
«Καὶ δύναμις οὐ πάρεστιν ἔσωθεν τοῖς Λατίνοις.
«Ἡμεῖς δὲ σοὶ τὴν εἴσοδον ἐκ τῶν ὑδραγωγίων
550 «Ποιήσομεν ἀκίνδυνον, εἴσελθε γοῦν ἀφόβως.»

Τοῦ Κουτριτζάκη τὰς βουλὰς βλέψον καὶ μάθε ὧδε.

Ὁ δ' ἐπιβλέπων τὴν αὐτῶν εὐτέλειαν μεγίστην
Εἶπε τῷ προσαγγέλλοντι· «Πῶς σὺ καλεῖς τὴν κλῆσιν;»
«Ὁ Κουτριτζάκης, ἔφησε, πρῶτος αὐτὸς καλοῦμαι.»
Ὁ Καῖσαρ δ' ἀδελφόπαιδα γνήσιον εἶχε τότε
555 Καλούμενον Ἀλέξιον, ὃς ἐκαλεῖτο μᾶλλον
Ἐκεῖνος Ἀλεξόπουλος, ὡς νέος ὢν τῷ χρόνῳ.

Τὰ Κουτριτζάκη γοῦν αὐτὸς Ἀλέξιος ἀκούσας
Ἔφησε πρὸς τὸν Καίσαρα· « Καλῶς ὁ Κουτριτζάκης
« Τῆς πόλεως τὴν εἴσοδον ἡμῖν καθυπουργήσει·
« Δεῖ τελεσθῆναι, δέσποτα, τὸν προῤῥηθέντα λόγον,
« Ἀλέξης, Ἀλεξόπουλος, σὺν τούτοις Κουτριτζάκης.
« Ὁ πρῶτος οὖν Ἀλέξιος Καῖσαρ αὐτὸς ὑπάρχεις,
« Ὁ δ' Ἀλεξόπουλος, ἐγὼ τρίτος ὁ Κουτριτζάκης.
« Συνέδραμον ἀμφότερα, πεισθῶμεν μᾶλλον τούτῳ. »
Ὅθεν ὁ Στρατηγόπουλος πεισθεὶς τοῖς λόγοις τούτου
Πᾶσαν αὐτοῦ τὴν δύναμιν ἔφησεν ὁπλισθῆναι.

Εἰσῆλθον ἔνδον πόλεως ἀπὸ τῶν ὑδραγώγων.

Εἰσῆλθον οὖν μέχρι ναοῦ τῆς Πηγῆς Θεοτόκου
Μετά γε τοῦ στρατεύματος νυκτὸς ἐπεισελθούσης,
Τὸν Κουτριτζάκην ἐν χερσὶ φέρων τὸν προῤῥηθέντα,
Ὃς καὶ προσέταξεν εὐθὺς ἄνδρας πεντακοσίους
Καθοπλισμένους εἰσελθεῖν ἀπὸ τῶν ὑδραγώγων,
Τοὺς ὁμοκότας σὺν αὐτοῖς ἐλθεῖν ἔσω προστάξας·
Οἵτινες εἰσπηδήσαντες ὡς λέοντες αὐτίκα
Εἰσῆλθον ἔνδον πόλεως ἀκώλυτον εὑρόντες
Τὴν εἴσοδον, καὶ πρὸς Πηγὴν ἦλθον τὴν πύλην τάχει.
Ἡν δ' αὕτη πύλη πρότερον κλεισθεῖσα πρὸς Λατίνων,
Λίθοις μεγάλοις καὶ μοχλοῖς στερροῖς ἀσφαλισθεῖσα·
Ὅθεν καταχαλάσαντες τὴν ἐνδοτέραν ὕλην
Ποιοῦσιν ἀνεμπόδιστον εἴσοδον τοῖς Ῥωμαίοις,
Ἄνωθεν εὐφημήσαντες τὸν ἄνακτα Ῥωμαίων.

Καῖσαρ ὁ Στρατηγόπουλος εἰσῆλθεν ἐν τῇ πόλει.

Εἰσῆλθεν οὖν Ἀλέξιος ὁ Καῖσαρ ἐν τῇ πόλει

Μετὰ παντὸς στρατεύματος καὶ πάσης τῆς ἰσχύος,
Ὃς καὶ προσέταξεν εὐθὺς πάντας τοὺς μαχομένους
Τοὺς. Ἰταλοὺς ὡς πρόβατα καὶ βόας κατασφάττειν
585 Οἱ δὲ Λατῖνοι βλέψαντες τὴν δύναμιν Ῥωμαίων,
Καὶ πρὸς αὐτὸν τὸν πόλεμον στῆναι μὴ δυνηθέντες,
Ἔφευγον ἐν τοῖς μέρεσι τοῖς παραθαλασσίοις.
Γέγονε τοίνυν ἡ τροπὴ μεγάλη τῶν Λατίνων,
Τὴν πρώτην ἐκνικήσασα τὴν ἔκπαλαι Ῥωμαίων.
590 Φεύγει κἀυτὸς ὁ βασιλεὺς Λατίνων Βαλδουΐνος
Κατακλεισθεὶς τοῖς ἔσωθεν μεγάλοις παλατίοις.
Συμβεβηκὸς οὖν ἔτυχεν ἔρχεσθαι τοὺς Λατίνους
Ἐν Δαφνοισίας ἄνωθεν μετὰ παντὸς τοῦ στόλου,
Καθ' ἣν ἡμέραν γέγονεν ἀνάῤῥησις Ῥωμαίοις,
595 Φυγὴ δ' αὐτοῖς τοῖς Ἰταλοῖς καὶ πόρθησις μεγίστη.
Οἱ δὲ εἰς τὸν πλοῦν ὡς ἔμαθον ἅπαντα τὰ πραχθέντα
Κατέβαινον τοῖς Ἰταλοῖς δύναμιν ἐπιδοῦναι.

Θεὸς καὶ θάλασσα καὶ πῦρ ἐμάχοντο Λατίνοις.

Ὁ Καῖσαρ δὲ προσέφησε πῦρ ἐμβληθῆναι τάχος
Αὐτοῖς πᾶσι τοῖς μέρεσι τοῖς παραθαλασσίοις.
600 Ὡς δὲ πλησίον πόλεως ἅπας ὁ στόλος ἦλθεν,
Οὐκ ἠδυνήθη προσελθεῖν πλησίον τοῦ λιμένος.
Ἡ φλὸξ ἐδίωκεν αὐτοὺς μεγάλως ὑψωθεῖσα,
Πάντα γὰρ κατεφλέγοντο τὰ τοῦ λιμένος μέρη
Σὺν πᾶσι τοῖς οἰκήμασι τῶν παραθαλασσίων,
605 Νότου πολλοῦ φυσήσαντος καὶ μαχομένου τούτοις.
Ὅθεν καὶ μόλις Ἰταλοὶ προσήγγισαν σὺν βίᾳ,
Κακίστως τοξευόμενοι παρὰ Ῥωμαίων οὗτοι,
Τοῖς νοτικοῖς οἰκήμασι μεγάλοις παλατίοις.

Οἵτινες καὶ τὸν ἄνακτα λαβόντες Βαλδουΐνον
610 Ἔφυγον αὐτοῖς μέρεσι τοῖς δυτικοῖς ταχίστως[1].
Ἡ πόλις δὴ τοῦ Βύζαντος ἐδόθη τοῖς Ῥωμαίοις
Τόλμῃ μεγάλῃ Καίσαρος, Θεοῦ δὲ συμμαχίᾳ·
Εἰκὰς καὶ πέμπτῃ τοῦ μηνὸς ἔτυχεν ἰουλίου,
Ἔτος ἑξακισχίλιον σὺν τοῖς ἑπτακοσίοις
615 Φέρον καὶ τοῖς ἑξήκοντα χρόνοις καὶ τοῖς ἐννέα.

Ἦρξεν ἐλθὼν ὁ Μιχαὴλ εἰς πόλιν Κωνσταντίνου.

Εἶθ' οὕτως ἦρξε Μιχαὴλ ἐλθὼν εἰς Βυζαντίδα
Χρόνους εἰκοσιτέσσαρας, ἀποτυφλώσας παῖδα
Τὸν κλήσει χαριτώνυμον τὸν γόνον Λασκαρίων.
Πρῶτον ἐξομωσάμενος αὐτὸν ἐν τοῖς αὐτοῖς
620 Καὶ ποτηρίου τοῦ φρικτοῦ τούτου καλῶς φυλάξαι
Ζωὴν καὶ κράτος, παραδοὺς ἐκεῖθεν βασιλέα.
Ἣν τινα τύφλωσιν ἰδὼν ὁ μέγας ἀρχιθύτης
Καὶ ζηλωτὴς Ἀρσένιος, ἀφορισμῷ φρικώδει
Τούτου καὶ σῶμα καὶ ψυχὴν ἐδέσμευσεν αὐτῷ,
625 Ἀραῖς τε καθυπέβαλε μὴ συγχωρήσας τοῦτον.

Ἀπὸ τοῦ φόβου μὲν αὐτὸς ἔκλινε κάραν πάπᾳ.

Ἔκλινε δ' οὗτος ὁ ῥηθεὶς ἄναξ Παλαιολόγος
Τὴν κάραν πάπᾳ δουλικῶς φρονήσας τὰ Λατίνων.
Ὅπως δὲ τοῦτο γέγονεν ἀνάγνωθι καὶ μάθοις.
Ὁ προῤῥηθεὶς τῶν, Ἰταλῶν ἄναξ ὁ Βαλδουΐνος

[1] Baudoin se réfugia d'abord à Monembasie. De là il traversa la Morée, et se rendit de Clarentza en Italie.

630 Ὁ τελευταῖος τύραννος ταύτης τῆς Κωνσταντίνου,
Ἀκμὴν κατέχων τὴν ἀρχὴν τῆς αὐτοκρατορίας,
Υἱὸν οὐκ ἔσχεν ἄῤῥενα[1], γεννᾷ δὲ μᾶλλον θῆλυ,
Ὃς καὶ ζητήσας ἔλαβεν ἐπὶ ῥητῷ τῷ χρόνῳ
Ἄνδρα τινὰ τῶν εὐγενῶν τῶν δυτικῶν λατίνων.
635 Γαμβρὸν ἐν ταύτῃ τῇ παιδὶ πλούσιον ὄντα πάνυ,
Προῖκα διδοὺς τὴν Βύζαντος κ' αὐτὴν τὴν βασιλείαν,
Ὅτε τὸν χρόνον ἔφηδον ἡ κόρη καταλάβῃ[2].

Εἰς τάχος πάπᾳ ἔδραμε ἄναξ ὁ Βαλδουΐνος.

Ἐπεὶ δὲ γέγονε φυγὰς οὗτος, ὡς ἐδηλώθη,
Καὶ Μιχαὴλ ὁ Κομνηνὸς ἦρξε τῆς Κωνσταντίνου,
640 Ὁ Βαλδουΐνος τάχιστα προσέδραμε τῷ πάπᾳ,
Ἐκτραγῳδῶν τὴν συμφορὰν φθορὰν τῆς τούτου δόξης,
Καὶ τοῦτον καθικέτευε σύμμαχον προσλαβέσθαι,
Βουλόμενος εἰς Βύζαντος ἐπαναστρέψαι πόλιν.
Πλεῖστον ἐπιφερόμενος τὸν πλοῦν ἐν τῇ θαλάσσῃ,
645 Καὶ τὴν βασίλειον ἀρχὴν πάλιν ἀναλαβέσθαι.
Κρίνας δὲ πάπας αἴτησιν εἶναι δικαίαν τούτου,
Αὐτοῦ γαμβρὸν προσέταξε καὶ τὸν πατέρα τούτου
Στόλον ποιῆσαι μέγιστον καὶ νῆας μακροτάτας,
Ἐλθεῖν τε πρὸς τὴν Βύζαντος καὶ μαχεσθῆναι ταύτην,
650 Καὶ Βαλδουΐνῳ τὴν ἀρχὴν αὐτῷ ἀποδιδόναι.
Ὅθεν καὶ ναῦς ποιήσαντες πλείους διακοσίων,
Καὶ πάντα καταρτήσαντες τὰ πρέποντα τῇ μάχῃ

[1] Baudoin II eut de Marie de Brienne un fils nommé Philippe, qui porta après lui le titre d'empereur.

[2] Il veut parler de Catherine de Courtenai, petite-fille de Baudoin II, fille unique de Philippe, et mariée à Charles de Valois.

Καταλαβεῖν ἠβούλοντο πρὸς Βύζαντος τὴν πόλιν,
Κατὰ τὸν ἔαρος καιρὸν τὰ βουλπτέα πράξαι.
655 Ταῦτα μαθὼν ὁ Μιχαὴλ καὶ καταδειλιάσας,
Τὰ τείχη τὰ τῆς πόλεως καλῶς ἀνανεώσας,
Τεῖχος ἀνήγειρε διπλοῦν ἔκ τε βορρᾶ καὶ νότου,
Ἀπό τε πύλεως αὐτῆς τῶν Βλαχερνῶν, καὶ μέχρις
Αὐτῆς Χρυσείας πύλεως, ταχίστως κατορθώσας·
660 Ποιῶν αὐτὴν οἰκοδομὴν ἐν ταῖς νυξὶ τὴν πλείστην,
Βουλόμενος μαχήσασθαι τοῖς Ἰταλοῖς ἐλθοῦσιν.

Ἔκλινε κάραν Μιχαὴλ τῷ πάπᾳ καὶ Λατίνοις.

Εἶτα τὴν δύναμιν αὐτῶν καὶ πάλιν δειλιάσας,
Καὶ τὴν προτέραν φοβηθεὶς ἧττην αὐτῶν Ῥωμαίων,
Μήπως τῶν πρώτων χείριστα γένωνται τελευταῖα,
665 Γράφει τῷ πάπᾳ δουλικῶς, ὡς μέλος ἐστὶ τούτου·
Υἱὸς δὲ μᾶλλον εὐπειθὴς φρονῶν τὰ τῶν Λατίνων,
Στείλας ἀρχιδιάκονας τοὺς πρώτους τῶν τοῦ κλήρου,
Ἔχοντας λόγον μέγιστον ἑλληνικῆς παιδείας,
Ὁ Μετοχίτης, μετ' αὐτὸν ὁ Μελιτηνιώτης,
670 Οἵτινες καθυπέκυψαν πρῶτον τοῖς λόγοις πάπα,
Καὶ βασιλεῖ τῷ Μιχαὴλ εἶπον φρονεῖν ὡσαύτως.

Ἔστειλε πρὸς τὸν Μιχαὴλ πάπας καρδιναλίους.

Ὁ πάπας παρ' ἐλπίδα δὲ ταῦτα μαθὼν τὸ τάχος
Καρδιναλίους ἔστειλε πρὸς τὸν Παλαιολόγον,
Τὸν ἄνακτα τὸν Μιχαὴλ, μνήμην ποιῆσαι τούτου
675 Πρός τε τὸν μέγιστον ναὸν τῆς τοῦ θεοῦ Σοφίας,
Καὶ τὰ πρωτεῖα τὸν αὐτὸν μετὰ τιμῆς διδόναι.
Κατὰ τεσσάρων οὖν αὐτὸς Πατριαρχῶν τῶν θείων

Ἔχειν πολλὴν τὴν δύναμιν ἔκκλητον τοῦ ποιῆσαι
Καθυπογράψαι βασιλεῖ ζητήσας τρία ταῦτα,
680 Μνήμην, πρωτεῖον, ἔκκλητον, ὃς βασιλεὺς αὐτίκα
Προσέταξεν ἐπ' ἄμβωνος μνήμην γενέσθαι πάπα,
Εἰπεῖν δὲ καὶ λατινικῶς τὸ θεῖον τοῦ Σωτῆρος
Μέγιστον εὐαγγέλιον τῇ μυστικῇ θυσίᾳ.
Ταῦτα δὲ γράψας βασιλεὺς γράμμασιν ἐρυθραίοις,
685 Καὶ κατασφραγισάμενος, καὶ δοὺς καρδιναλίοις
Πρὸς Ῥώμην ἔστειλεν αὐτοὺς δεῖξαι τῷ πάπᾳ ταῦτα·
Ἔνθεν οἱ καρδινάλιοι στραφέντες πρὸς τὴν Ῥώμην
Ἅπαντα τὰ γενόμενα τῷ πάπᾳ προδηλοῦσιν[1].

Ὁ πάπας πάλιν Μιχαὴλ ἀπέδωκε τὸ κράτος.

Ὁ δὲ χαρᾶς πολλῆς πλησθεὶς προσέταξεν αὐτίκα
690 Τοῖς εἰρημένοις Ἰταλοῖς τοῖς κατὰ Βυζαντίδος
Τὸν στόλον ἐνεργήσασιν ἀπράκτους εἶναι τούτου,
Εἰπὼν αὐτοῖς ὡς Μιχαὴλ ἡμῶν γέγονε μέλος,
Ὁμόφρων οὗτος γεγονὼς μεγίστης Ἐκκλησίας
Τοῦ πρωτοθρόνου καὶ σεπτοῦ Πέτρου τοῦ κορυφαίου,
695 Καὶ μαχεσθῆναι τὸν αὐτὸν οὔπω καλὸν τυγχάνει,
Ἡ πόλις γὰρ τοῦ Βύζαντος ὑπάρχει τῶν Ῥωμαίων,
Καὶ πάλιν ἔξουσιν αὐτὴν καθὼς κατεῖχον πρώην.
Ὅστις δὲ αὐτῶν τῶν Ἰταλῶν ἀπέλθῃ μαχεσθῆναι
Τῇ τούτου βάλλω κεφαλῇ τὸν ἀπὸ τῆς ἁγίας
700 Τριάδος φρικωδέστατον ἀφορισμὸν ὁ πάπας.

Τὰ τῶν Λατίνων Μιχαὴλ ἐφρόνησεν αὐτίκα.

Ὁ Μιχαὴλ ἀφόβως δὲ κατάρξας τῶν Ῥωμαίων,

[1] Wadding, dans ses *Annales des Frères Mineurs*, a fait connaître ces diverses négociations.

Τὸν ἀρχιθύτην πρώτιστον τὸν Ἰωσὴφ ἐκεῖνον
Τῆς ἐκκλησίας ἔξωσεν, ἀνήγαγε δὲ μᾶλλον,
Βέκονα τὸν παμβέβηλον εἰς πατριάρχην τοῦτον.
Πρότερον ὄντα τὸν αὐτὸν εἰς χαρτοφυλακίου
Τόπον, ὡς ἄνδρα μέγιστον ἑλληνικῆς παιδείας·
Ὃς τὰ Λατίνων ὁ δεινὸς σὺν βασιλεῖ πιστεύει
Ἔχων εἰς τοῦτο συνεργοὺς δύο τοὺς προρρηθέντας
Τὸν Μετοχίτην τε, φημί, καὶ Μελιτηνιώτην,
Οὓς ὕστερον Ἀνδρόνικος ὁ Μιχαήλου γόνος,
Τὴν τοῦ πατρὸς δυσσέβειαν πόρρωθεν ἐκδιώξας,
Ὡς μὴ θελήσαντας αὐτοὺς κοινωνικοὺς γενέσθαι
Τοῖς ὀρθοδόξοις ἅπασι, πολλαῖς ταῖς ἐξορίαις
Καὶ φυλακαῖς κατέσπειρεν, οἵτινες μόρον μᾶλλον
Τὸν τῶν κοινῶν ὑπέστησαν εἱρκταῖς ἐγκεκλεισμένοι.
Ὁ Μιχαὴλ δὲ τύραννος γέγονεν ὀρθοδόξων,
Ἀποτυφλώσας σὺν πολλοῖς καὶ τοὺς Ῥαλεῖς ἐκείνους,
Ὡς μὴ θελήσαντας αὐτοὺς φρονῆσαι τὰ Λατίνων.

Ἄλλως τὸ Π χρησμοδοτεῖ, καὶ Μιχαὴλ οὐ βλέπει.

Εἶτα μαθὼν ἀπό τινος ὡς βασιλείαν τούτου
Παχώμιος εἰσδέξηται, κακίας ἐνεπλήσθη.
Ὅθεν εὑρὼν Παχώμιον τινὰ τῶν μονοτρόπων,
Ἀνόμως ἀπετύφλωσε μὴ λάβοι τούτου κράτος.
Ἔδειξε γὰρ αὐτῷ χρησμὸν ὁ τοῦτον βουκωλήσας
Τὸ γράμμα Π τρισσῶς γραφὲν, ὅστις καὶ Παχωμίου
Τοὺς ὀφθαλμοὺς ἐξώρυξε τὸ Π. προσδειλιάσας.
Ἐψεύσθη γοῦν ὁ δείλαιος κακὰ φρονῶν καὶ πράττων.

Βλέψον τὸ Π τρισσῶς γραφὲν καὶ μάθοις χρησμοῦ λύσιν.

Μόρος γὰρ εὗρε τὸν αὐτὸν ἐν χώρᾳ Παχωμίου,
Καθὼς χρησμὸς εἶπε τὸ Π, δέξασθ' αὐτοῦ τὸ κράτος·
Τέθνηκεν ἐν παρασκευῇ πρὸς χώραν Παχωμίου
